Rursus vero beatos prædicant quoscunq; ævum relinquentes
Improvisa fatorum ministra abstulit mors,

Illi

Οἱ μὲν γὰρ ζώοντες, ἀεὶ παντοῖα παρῶσιν
Ες κακὰ, τοὶ δὲ κακῶν εὗρον ἄκος φθίμενοι.

Αδηλον.

Τὸν βίον ἡράκλειτε πολὺ πλέον, ἤπερ ὅτ' ἔζης
Δάκρυε· νῦν ὁ βίος ἔστ' ἐλεεινότερος.
Τὸν βίον ἄρτι γέλα δημόκριτε τὸ πλέον ἢ πρίν·
Νῦν ὁ βίος πάντων ἐστὶ γελοίοτερος.
Εἰς ὑμέας δὲ καὶ αὐτὸς ὁρῶν, τὸ μεταξὺ μεριμνῶ
Πῶς ἅμα σοὶ κλαύσω, πῶς ἅμα σοὶ γελάσω.

ΠΟΣΕΙΔΙΠΠΟΥ, οἱ δὲ, ΚΡΑΤΗ-
τος τοῦ κυνικοῦ.

Ποίην τις βιότοιο τάμοι τρίβον; εἰν ἀγορῇ μὲν,
Νείκεα καὶ χαλεπαὶ πρήξιες· ἐν δὲ δόμοις,
Φροντίδες· ἐν δ' ἀγροῖς, καμάτων ἅλις, ἐν δὲ θαλάσσῃ
Τάρβος· ἐπὶ ξείνης δ', ἢν μὲν ἔχῃς τὶ, δέος·
Ην δ' ἀπορῇς, ἀνηκρόν. ἔχεις γάμον; οὐκ ἀμέριμνος
Εσσεαι. οὐ γαμέεις; ζῆς ἔτ' ἐρημότερον.
Τέκνα, πόνοι· πήρωσις ἄπαις βίος. αἱ νεότητες,
Αφρονες· αἱ πολιαὶ δ' ἔμπαλιν ἀδρανέες·
Ην ἄρα τοῖν δυοῖν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
Μηδέποτ', ἢ τὸ θανεῖν αὐτίκα τικτόμενον.

Εκ τοῦ ἐναντίου πιθανά, ΜΗΤΡΟΔΩΡΟΥ.

Παντοίην βιότοιο τάμοις τρίβον. εἰν ἀγορῇ μὲν,
Κήδεα, καὶ πινυταὶ πρήξιες· ἐν δὲ δόμοις,
Αμπαυμ', ἐν δ' ἀγροῖς, φύσιος χάρις. ἐν δὲ θαλάσσῃ
Κέρδος. ἐπὶ ξείνης, ἢν μὲν ἔχῃς τὶ, κλέος·

Ην δ'

Illi enim viventes semper varia transeunt (tui
In mala, hi verò malorũ invenerunt remediũ mor-

Incerti.

Vitam Heraclete multo magis jam, quàm cum vive-
Desle; nunc vita est miserior. (res
Vitam jam ride Democrite magis, quàm prius,
Nunc vita omnium est magis ridicula. (inquiro,
In vos a. & ipse inspiciens, quod inter vos sit studiosè
Quomodo tecum fleam, quomodo tecum rideam.

POSIDIPPI, vt alij CRATETIS Cynici.

Qualem quis vitæ terat semitam? In foro enim
Lites & actiones molestæ: in domibus verò
Curæ; in agris autem laborum satis, in mari autem
Timor: in peregrinatione, si quid habeas, metus
Si nihil habes molestũ est, Si nuptus es, non sine curis
Eris, non ducis vxorẽ vivis adhuc magis solitarius.
Liberi labores gignunt. Mutilatio q. vita sine liberis,
Stolida est, senectus rursus infirma. (juuentus
Esset igitur duorum vnius electio, aut nasci
Nunquam, aut mori statim vbi quis natus sit.

Ex contrario verisimilia METRODORI.

Omnigenam vitæ insistas semitam. In foro quidem
Gloria, & prudentia opera, in ædibus autem
Requies, In agris naturæ oblectatio. In mari verò
Lucrũ, in peregrinatione, si quidẽ quid habes, gloria.

Sin

Ην δ' ἀπορῇς, μόνος οἶδας. ἔχεις γάμον; οἶκος ἄρι-
Εσσεται· σὺ γαμέεις; ζῆς ἔτ' ἐλαφρότερον. (στος
Τέκνα, πόθος· ἄφροντις ἄπαις βίος. αἱ νεότητες,
Ρωμαλέαι· πολιαὶ δ' ἔμπαλιν εὐσεβέες.
Οὐκ ἄρα τῶν δισσῶν, ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
Μηδέποτ', ἢ τὸ θανεῖν. πάντα γὰρ ἐσθλὰ βίου.

ΛΟΥΚΙΑΝΟΥ.

Θνητὰ τὰ τῶν θνητῶν, καὶ πάντα παρέρχεται ἡμᾶς.
Ην δὲ μὴ, ἀλλ' ἡμεῖς αὐτὰ παρερχόμεθα.

ΠΑΛΛΑΔΑ.

Γῆς ἐπέβην γυμνὸς, γυμνός θ' ὑπὸ γαῖαν ἄπειμι.
Καὶ τί μάτην μοχθῶ, γυμνὸν ὁρῶν τὸ τέλος;

Τοῦ αὐτοῦ.

Πλοῦς σφωλερὸς τὸ ζῆν. χειμαζόμενοι γὰρ ἐν αὐτῷ,
Πολλάκι ναυηγῶν πταίομεν οἰκτρότερα.
Τὴν δὲ τύχην βιότοιο κυβερνήτειραν ἔχοντες,
Ὡς ἐπὶ τοῦ πελάγους ἀμφίβολοι πλέομεν.
Οἱ μὲν, ἐπ' εὐπλοίην, οἱ δ' ἔμπαλιν, ἀλλ' ἅμα πάν-
Εἰς ἕνα τὴν κατὰ γῆς ὅρμον ἀπερχόμεθα. τες

Τοῦ αὐτοῦ.

Σκηνὴ πᾶς ὁ βίος, καὶ παίγνιον· ἢ μάθε παίζειν,
Τὴν σπούδην μεταθεὶς, ἢ φέρε τὰς ὀδύνας.

Τοῦ αὐτοῦ.

Εἰ τὸ φέρον σε φέρει, φέρε καὶ φέρου· εἰ δ' ἀγανακτεῖς,
Καὶ σαυτὸν λυπεῖς, καὶ τὸ φέρον σε φέρει.

Τοῦ

Sin indigeas, solus nôsti. Habes nuptias? Domus optima
Erit. non ducis vxorem? Vivis adhuc liberiùs.
Liberi desideriũ sunt. Sine cura est orba vita. Iuventus
Robusta, senectus rursus religiosa.
Non igitur duorum vnius est electio, aut nasci
Nunquam, aut mori. Omnia enim vitæ bona sunt.

LVCIANI.

Mortales sunt mortaliũ res, & omnia prætereunt nos,
Sin minus, at nos saltem illa præterimus.

PALLADÆ.

Terrâ ingressus sum nudus, nudusq; sub terram abibo,
Et quid frustra laboro, nudum videns finem.

Ejusdem.

Navigatio periculosa est vita. Tempestate a. vexatâ
Sapè naufragis affligimur miseriùs. (in ipsâ
Fortunam autem vitæ gubernatricem habentes
Velut in pelago dubij nauigamus. (tamen omnes
Alij quidem secundam navigationem, alij contra, sed
In vnum sub terrâ portum contingimus.

Ejusdem.

Scena est omnis vita, & ludus, aut discè ludere
Severitatem deponens, aut perfer dolores.

Ejusdem.

Si fatum te fert, fer, & abi. Si autem indignè feras
Te ipsum lædis, & tamen fatum te auferet.

Ejus-

Τοῦ αὐτοῦ.

Δακρυχέων γενόμην, καὶ δακρύσας ἀποθνήσκω·
Δάκρυσι δ' ἐν πολλοῖς τὸν βίον εὗρον ὅλον.
Ὦ γένος ἀνθρώπων πολυδάκρυτον, ἀσθενὲς, οἰκτρὸν,
Συρόμενον κατὰ γῆς, καὶ διαλυόμενον.

Τοῦ αὐτοῦ.

Ὦ γένος ἀνθρώπων ἀνεμώλιον, αὐτοχόλωτον,
Μέχρι τέλους βιότου μηδὲν ἐπιστάμενον.

ΙΟΥΛΙΑΝΟΥ.

Ἡδέα πάντα κέλευτα λάχεν βίος. ἄστεϊ μέσσῳ,
Εὖχος, ἑταίρειαι· κρυπτὰ δόμοισιν ἄκη.
Ἀγρὸς τέρψιν ἄγει, κέρδος πλόος· ἀλλοδαπὴ χθὼν
Γνώσιας· ἐκ δὲ γάμων, οἶκος ὁμοφρονέει·
Τοῖς δ' ἀγάμοις ἄφροντις ἀεὶ βίος· ἕρκος ἐτύχθη
Πατρὶ, τέκος· φροῦδος τοῖς ἀγόνοισι φόβος.
Ἠνορέην νεότης, πολιὴ φρένας οἶδεν ὀπάζειν.
Ἔνθεν θάρσος ἔχων, ζῶε, φύτευε γένος.

Ἄδηλον.

Πῶς τις ἄνευ θανάτου σε φύγοι βίε; μυρία γάρ σευ
Λυγρά· καὶ οὔτε φυγεῖν εὐμαρὲς, οὔτε φέρειν.
Ἡδέα μὴν γάρ σευ τὰ φύσει καλὰ, γαῖά, θάλασσα,
Ἄστρα σελήναίης κύκλα καὶ ἠελίου.
Τἄλλα δὲ πάντα, φόβοι τε καὶ ἄλγεα. κἤν τι πάθῃ τις
Ἐσθλὸν, ἀμοιβαίην ἐκδέχεται νέμεσιν.

Ἄδηλον.

Ejusdem.

Lacrumas fundens natus sum, & lacrumans morior,
Lacrumis in multis vitam inveni totam.
O genus hominum multum deflendum, infirmum, misse (rabile
Tractum sub terram, & resolutum.

Ejusdem.

O genus hominum vanum, & tibi causa doloris,
Vsq; ad finem vitæ nihil sciens.

IVLIANI.

Iucundas omnes vias sortita est vita. In vrbe mediâ
Gloria, sodalitia occultæ in ædibus dolorũ medelæ,
Ager oblectationes habet, lucrum nauigatio, peregrina- (tio
Scientiam, Ex nuptijs, domus concordia,
Non nuptis vita semper secura. Munimentũ nascitur
Patri filius, inanis prole carentibus metus.
Robur iuuentus, senectus prudentiam nouit præstare,
Vnde animo confidens vive, & planta genus.

Incerti.

Quomodo quis sine morte te fugiat ô vita? Mille enim
Mala, quæ neq; effugere facile, neq; ferre. (tua
Iucunda enim tua naturâ bona terra, mare,
Astra, Lunæ circuli, & Solis.
Reliqua omnia timores & dolores, Et si quid quis capiat
Boni, retributionem accipit Nemesin.

Αδηλον.

Πάντα γέλως, καὶ πάντα κόνις, καὶ πάντα τὸ μηδέν.
Πάντα γὰρ ἐξ ἀλόγων ἐστὶ τὰ γιγνόμενα.

Αδηλον.

Φροντίδες οἱ παῖδες· μέγα μὲν κακὸν, εἶτι πάθοιεν.
Εἰσὶ δὲ καὶ ζῶντες φροντίδες ἐκ ὀλίγαι.
Ηγαμιτὴ, χρηστὴ μὲν ἔχει τινὰ τέρψιν ἐς αὐτήν·
Η δὲ κακὴ, πικρὸν τὸν βίον ἀνδρὶ φέρει.

Αδέσποτον.

Ω θηρῶν βροτὲ μᾶλλον ἀνήμερε, πάντα σε μισεῖ
Παντολέτορ· πάντη δ' ἐκδέχεταί σε μόρος.
Ην ἐπὶ γῆς φεύγῃς, ἀγχοῦ λύκος· ἢν δὲ πρὸς ὕψος
Δενδροβατῇς, ἀσπὶς δεῖμ' ὑπὲρ ἀκρεμόνων.
Πειράζεις δὲ νεῖλον; ὁ δ' ἐν δίναις κροκόδειλον
Ετρεφεν, εἰς ἀσεβεῖς θῆρα δικαιότατον.

ΕΙΣ ΒΡΕΦΗ, κεφ. ιδ.

ΑΡΧΙΟΥ.

Λυσίππης ὁ νεογνὸς ἐπὶ κρυμνοῦ πάϊς ἕρπων,
Αστυανακτείης ἤρχετο δυσμορίης·
Η δὲ μεθωδήγησεν, ἀπὸ στέρνων προφέρουσα
Μαζὸν, τὸν λοιμοῦ λύτορα καὶ θανάτου.

ΑΝΤΙΠΑΤΡΟΥ.

Δμώϊον ἱπποκράτευς ἔθανε βρέφος ἐς πλατὺ πόντου
Χεῖλος, γειτοσύνης ἑρπύσαν καλύβης,
Πλεῖον ἐπεὶ μαζῶν ἔπιεν ποτόν. ἔρρε θάλασσα,
Η βρέφος ὡς μήτηρ ψεύσαο δεξαμένη.

ΒΙΑ.

Incerti.

Omnia risus, & omnia pulvis, & omnia nihil;
Omnia enim ex fortuitis sunt, quæ fiunt.

Incerti.

Curæ sunt liberi. Magnũ quidẽ malũ, si quid patianturi
Sunt verò & viventes curæ non paruæ.
Vxor bona quidem habet aliquam suavitatem in se,
At mala insuavem vitam viro adfert.

Incerti.

O feris homo magis infelix. Omnia te odio habent,
Omnia perdens. Vbiq; verò excipit te mors.
Si in terram fugis, prope est lupus! Si verò in altum
Arborem conscendas, aspis periculũ est sub ramis.
Tentas & Nilum; Hic vero in vortice Crocodilum
Educat, in impios feram justissimam.

IN INFANTES, Cap. XIV.

ARCHII.

Lysippes nuper natus per præcipitia puer serpens,
In Astyanacteam incidit infelicitatem.
Hæc vero aliter viam monstravit è pectore protendens
Mammam, famis dissolutricem, & mortis.

ANTIPATRI.

Servulus Hippocratis mortuus est infans, in latam
Ripam vicino cum reptavit ex tugurio, (Ponti
Postquã majorẽ quã è mammis bibisset potũ. Peri ma-
Quæ puerũ tanquã mater mentitũ es accipiens. (re.

Ἔριπεν ἐξ ἄκρης δόμος ἀθρόος, ἀλλ' ἐπὶ παιδὶ
Νηπιάχῳ, ζεφύρου πολλὸν ἐλαφρότερος.
Φείσατο κουροσύνης καὶ ἐρείπιον, ὦ μεγάλαυχοι
Μητέρες, ὠδίνων καὶ λίθος αἰσθάνεται.

ΕΙΣ ΓΑΜΟΝ, κεφ. ιε.

Αδηλον.

Εἴτις ἅπαξ γήμας, πάλι δεύτερα λέκτρα διώκει,
Ναυηγὸς πλώει δὶς βυθὸν ἀργαλέον.

ΑΠΟΛΛΟΝΙΔΟΥ.

Πρὸς παίδων (εἶπεν) γουνάζομαι, ὧν με θανοῦσαν
Στείλῃς, μὴ σπείσαις δεύτερα φίλτρα γάμου.
Εἶπεν. ὁ δ' εἰς ἑτέρην ἐσπούδασεν. ἀλλὰ φίλιννα
Διογένη λήθης τίσατο καὶ φθιμένη.
Νυκτὶ γὰρ ἐν πρώτῃ θάλαμον σχάσε μῆνις ἄφυκτος,
Ὡς μὴ λέκτρον ἰδεῖν δεύτερον ἠέλιον.

ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Καλὰ τὰ παρθενίης κειμήλια. παρθενίη δὲ,
Τὸν βίον ὤλεσεν ἂν, πᾶσι φυλαττομένη.
Τοὔνεκεν ἐνθέσμως ἄλοχον λάβε, καί τινα κόσμῳ
Δὸς βροτὸν ἀντὶ σέθεν. φεῦγε δὲ μαχλοσύνην.
Τίνας ἂν εἴποι λόγους ἑλένη, μονομα-
χούντων μενελάου καὶ πάριδος.
Εὐρώπης ἀσίης τε δορυσθενέες βασιλῆες,
Ὑμῖν ἀμφοτέροισιν ἐπὶ ξυροῦ ἵσταται ἀκμὴ,

Τίς κεν

Cecidit è summitate domus turbata: sed super puerum
Infantem, Zephyro longè levior.
Pepercit puericiæ etiam ruina. O gloriosæ
Matres! Dolores partus etiam lapis sentit.

IN NVPTIAS, Cap. XV.

Incerti.

Si quis semel uxore ductâ rursus secundos thalamos ex-
Naufragus navigat bis profundum grave. (petit,

APOLLONIDÆ.

Per pueros (dixit) te supplex oro, si me mortuam
Sepelieris, ne contrahas secundos amores nuptiarũ.
Dixit. Hic verò aliam appetiit. Sed Philinna
Diogenem propter oblivionẽ ulta est, licet mortua.
Nocte enim primâ thalamum obruit ira inevitabilis,
Ut thalamus non videret sequentem lucem.

PAVLI SILENTIARII.

Pulcri quidem virginitatis thesauri. Virginitas autẽ
Vitam perderet, si ab omnibus servaretur.
Propterea legitimè uxorem duc, & aliquem mundo
Da hominem pro te, fuge autem scortationem.

Quę dixerit verba Helena singulari certamine pugnantibus Menelao & Paride.

Europæ & Asiæ hastâ potentes reges,
Vobis ambobus res sita est in acie novacula,

Τίς κεν ἐμὲ τλήθυμος ἕλοι δύστηνον ἀκοίτης·
Ζεὺς δὲ πατὴρ δικάσειεν, ἄνευθε δὲ κυπρογενείης,
Μὴ πάλιν ἄλλος ἕλῃ με γαμοκλόπος αἶσχος ἀχαίοις.

ΔΙΟΝΥΣΙΟΥ.

Ὥρη ἐρᾷν, ὥρη δὲ γαμεῖν, ὥρη δὲ πεπαῦσθαι.

ΑΥΤΟΜΕΔΟΝΤΟΣ.

Εὐδαίμων πρῶτον μὲν ὁ μηδενὶ μηδὲν ὀφείλων.
Εἶτα δ' ὁ μὴ γήμας, τὸ τρίτον ὅστις ἄπαις.
Ἢν δὲ μανεὶς γήμῃ τὶς, ἔχει χάριν, ἢν κατορύξῃ
Εὐθὺς τὴν γαμετὴν, προῖκα λαβὼν μεγάλην.
Ταῦτ' εἰδὼς, σοφὸς ἴσθι· μάτην δ' ἐπίκουρον ἔασον
Ποῦ τὸ κενὸν ζητεῖν, καὶ τίνες αἱ μονάδες.

Ἀδηλον.

Οὐκ ἔστι γήμας ὅστις οὐ χειμάζεται,
Λέγουσι πάντες, καὶ γαμοῦσιν εἰδότες.

Ἀδηλον.

Ἄχρις ἂν ᾖς ἄγαμος νουμήνιε, πάντα δοκεῖ σοι
Ἐν τῷ ζῆν εἶναι τἀγαθὰ τῶν ἀγαθῶν.
Εἶθ' ὅταν εἰσέλθῃ γαμετὴ, πάλιν εὐθὺ δοκεῖ σοι
Ἐν τῷ ζῆν εἶναι πάντα κακῶν τὰ κακά.
Ἀλλὰ χάριν τεκνίων; ἕξεις νουμήνιε τέκνα,
Χαλκὸν ἔχων· πτωχὸς δ' οὐδὲ τὰ τέκνα φιλεῖ.

ΕΙΣ ΓΗΡΑΣ, καὶ γέροντας, κεφ. ις.

ΜΕΝΕΚΡΑΤΟΥΣ.

Γῆρας ἐπὰν μὲν ἀπῇ, πᾶς εὔχεται· ἢν δέ ποτ' ἔλθῃ,
Μέμφεται. ἔστι δ' ἀεὶ κρεῖσσον ὀφειλόμενον.

ΛΟΥ-

Quũ me forti animo præditus auferat miserã, conjux.
Iuviter autem pater dijudicet. Sine Venere autem
Non rursus alius auferet me adulter, dedecus Græcis.

DIONYSII.

Tempus amandi, tempus ducendi, tempus quiescendi.

AVTOMEDONTIS.

Felix quidem primum, qui nemini aliquid debet,
Postea qui vxorẽ non duxit: tertiò qui sine prole.
Quod si quis insanus vxorẽ ducat, habet gaudiũ si defo-
statim vxorem dotem vbi accepit magnam. (diat
Hæc discens sapiens esto; Frustra autẽ Epicurũ relin-
Vbi sit vacuũ inquirere, & quænã vnitates. (que

Incerti.

Nemo est, qui vxorem ducens non vexatur
Dicunt omnes, & tamen vxores ducunt, licet sciant.

Incerti.

Quamdiu celebs es, Numenie, omnia videntur tibi
In vitâ esse bona bonorum.
Postea vbi ingressa fuerit vxor, rursum statim viden-
In vitâ esse omnia malorum mala. (tur tibi
Sed dices liberorum gratia? habebis, Numeni, liberos
Numos habens: mendicus v. ne liberos quidẽ amat.

IN SENECTVTEM ET Senes, Cap. XVI.

MENECRATIS.

Senectus cum abest, quivis eam optat. Vbi v. venit
Reprehendit: Est a. semper melior, cũ adhuc debetur.

ΛΟΥΚΙΛΛΙΟΥ.

Εἴτις γηράσας ζῆν εὔχεται, ἄξιός ἐστι
Γηράσκειν πολλῶν εἰς ἐτέων δεκάδας.

ΘΕΟΓΝΙΔΟΣ.

Ω μοὶ ἐγὼν ἥβης, καὶ γήραος ἀλομένοιο·
Τοῦ μὲν, ἐπερχομένου, τῆς δ', ἀπονεισομένης.

Αδέσποτον.

Αν περιλειφθῇ μικρὸν ἐν ἄγγεσιν ἡδέος οἴνου,
Εἰς ὀξὺ τρέπεται τοῦτο τὸ λειπόμενον.
Οὕτως ἀντλήσας τὸν ὅλον βίον, ἐς βαθὺ δ' ἐλθὼν
Γῆρας ὁ πρεσβύτης, γίγνεται ὀξύχολος.

ΕΠΙΓΟΥΝΟΥ θετταλοῦ.

Η πάρος εὐπετάλοισιν ἐν οἰνάνθαις νεάσασα,
Καὶ τετανῶν βοτρύων ῥᾶγα κομισσαμένη,
Νῦν οὕτω γραιοῦμαι· ἴδ' ὡς χρόνος οἷα δαμάζει·
Καὶ σταφυλὴ γήρως αἰσθάνεται ῥυτίδων.

ΑΝΤΙΠΑΤΡΟΥ.

Χειμέριον καίουσαν ἐφ' ἑστίῃ ἄνθρακα γοργὼ
Τὴν γρῆϋν βροντῆς ἐξεπάταξε φόβος·
Πνεύμονα δὲ ψυχθεῖσα κατήμυσεν. ἦν ἄρα μέσση
Γήρως καὶ θανάτου λειπομένη πρόφασις.

ΦΙΛΩΝΟΣ.

Αἱ πολιαὶ σὺν νῷ, γαραρώτεραι· αἱ γὰρ ἄτερ νοῦ,
Μᾶλλον τῶν πολλῶν εἰσὶν ὄνειδος ἐτῶν·
Αἱ τρίχες, ἢν σιγᾷς, εἰσὶ φρένες· ἢν δὲ λαλήσῃς,
Ὡς αἱ τῆς ἥβης, οὐ φρένες, ἀλλὰ τρίχες.

ΕΙΣ

LVCILLII.

Si quis jam senio confectus vivere desiderat, dignus est
Senescere in multorum annorum decades.

THEOGNIDIS.

Hei mihi ob juventutem, & senectutem noxiam!
Hanc quidem supervenientem, illam verò discedentem.

Incerti.

Si relictum sit pauxillum in vasis dulcis vini
In acetum mutatur hoc, quod relictum est.
Sic qui exantlauit totam vitam, ubi ad profundam venit
Senectutem aliquis senior sit austerus, & morosus.

EPIGVNI Thessali.

Quæ antea foliis decoris in vitis floribus juvenescens
Et extensis botris acinum producebam,
Iam sic senesco. Vide quomodo & qualia tempus domat.
Et uva senectutis sentit rugas.

ANTIPATRI.

Hiemalem incendentem in foco carbonem Gorgo
Anum tonitrus percussit metus.
Pulmonem autem frigore exstincta obijt. Erat sanè media
Inter senium & mortem relicta occasio.

PHILONIS

Cani cum prudentia honoratiores, qui a. sine prudentia
Potius multorum sunt dedecus annorum.
Capilli si taceas, prudentia sunt; sin autem loquaris
Vt capilli juventutis; non prudentia sunt, sed capilli.

ΕΙΣ ΓΡΑΜΜΑΤΙΚΟΥΣ,
κεφ. ιζ.

ΠΑΛΛΑΔΑ εἰς τὴν ἑαυτοῦ γυναῖκα
ἀνδρομάχην.

Μῆνίν τ' οὐλομένην γαμετὴν ὁ τάλας γεγάμηκα,
Καὶ παρὰ τῆς τέχνης μηνίδος ἀρξάμενος.
Ὤμοι ἐγὼ πολύμηνις, ἔχων διχόλωτον ἀνάγκην,
Τέχνης γραμματικῆς, καὶ γαμετῆς μαχίμης.

Τοῦ αὐτοῦ.

Μῆνις ἀχιλλῆος καὶ ἐμοὶ πρόφασις γεγένηται
Οὐλομένης πενίης γραμματικευσαμένῳ.
Εἴθε δὲ σὺν δαναοῖς με κατέκτανε μῆνις ἐκείνη,
Πρὶν χαλεπὸς λιμὸς γραμματικῆς ὀλέσῃ.
Ἀλλ' ἵν' ἀφαρπάξῃ βρισηΐδα πρὶν ἀγαμέμνων,
Τὴν δ' ἑλένην ὁ πάρις, πτωχὸς ἐγὼ γενόμην.

Τοῦ αὐτοῦ.

Ὀργανα μουσάων, τὰ πολύστονα βιβλία πωλῶ,
Εἰς ἑτέρας τέχνης ἔργα μετερχόμενος.
Πιερίδες σώζοισθε· λόγοι, συντάσσομαι ὑμῖν·
Σύνταξις γὰρ ἐμοὶ καὶ θάνατον παρέχει.

Τοῦ αὐτοῦ.

Ἀρχὴ γραμματικῆς, πεντάστιχος ἐστι κατάρα·
Πρῶτος, μῆνιν ἔχει· δεύτερος, οὐλομένην,
Καὶ μετὰ δ' οὐλομένην, δαναῶν πάλιν ἄλγεα πολλὰ,
Ὁ τρίτατος ψυχὰς εἰς ἀΐδην κατάγει.

Τοῦ δὲ

IN GRAMMATICOS, Cap. XVII.

PALLADÆ, in suam conjugem Andromachen.

Iram exitialem conjugem miser vxorem duxi,
Etiam in arte ab irâ incipiens.
Hei mihi qui multæ iræ! habens duas iræ necessitates,
Artis Grammaticæ, & coniugij contentiosæ.

Ejusdem.

Ira Achillis & mihi occasio facta est
Exitialis paupertatis Grammaticum agenti.
Vtinam autem cum Danais me occidisset ira illa
Ante, quàm gravis fames Grammaticæ perderet!
Sed quia abstulit Briseida prius Agamemnon,
Et Helenam Paris, mendicus ego factus sum.

Ejusdem.

Organa Musarum luctuosos libros vendo,
In alterius artis opera transiens.
O musæ ô valete. verba, vobiscum in ordine construar,
Constructio enim mihi etiam mortem adfert.

Ejusdem.

Principiũ Grammaticæ quinq; versuum exsecratio est,
Primus versus Iram habet, alter exitialem,
Et post exitialem Danaûm rursus dolores multos,
Tertius animas ad inferos deducit,

Quarti

Τοῦ δὲ τεταρταίου, τὰ ἑλώρια, καὶ κύνες ἀργοί.
Πέμπτου δ', οἰωνοὶ, καὶ χόλος ἐστὶ διός.
Πῶς οὖν γραμματικὸς δύναται μετὰ πέντε κατάρας,
Καὶ πέντε πτώσεις, μὴ μέγα πένθος ἔχειν;

Τοῦ αὐτοῦ.

Καλλίμαχον πωλῶ καὶ πίνδαρον, ἠδὲ καὶ αὐτὰς
Πτώσεις γραμματικῆς, πτῶσιν ἔχων πενίης.
Δωρόθεος γὰρ ἐμὴν τροφίμην σύνταξιν ἔλυσεν·
Ὥστέ με τοῦ τε πιεῖν τοῦ τε φαγεῖν ἀπορεῖν.
Ἀλλὰ σύ μου πρόστηθι θεῷ φίλε· μηδέ μ' ἐάσῃς
Συνδέσμῳ πενίης τὸν βίον ἐξανύσαι.

ΕΥΠΙΘΙΟΥ ἀθηναίου στίξαντος
τὴν καθόλου.

Ταυτολόγων κανόνων φεῦ πληθύος, ἠδ' ἀϊδήλων
Ξυσμάων, λέπτὸς τὰς ἐχάραξε δόναξ.
Ὀμματά μου κέκμηκε, τένων, ῥάχις, ἰνίον, ὦμοι·
Τῆς καθόλου δὲ φέρω τὴν ὀδύνην καθόλου.

ΠΑΛΛΑΔΑ.

Λίτραν ἐτῶν ξήσας μετὰ γραμματικῆς βαρυμόχθου,
Βουλευτὴς νεκύων πέμπομαι εἰς ἀΐδην.

Τοῦ αὐτοῦ.

Ἐνθάδε παιδεύουσιν ὅσοις κεχόλωτο Σάραπις,
Τοῖσιν ἀπ' οὐλομένης μηνίδος ἀρχομένοις.
Ἔνθα τροφὸς κατὰ μῆνα φέρει μισθὸν μετ' ἀνάγκης,
Βίβλῳ καὶ χάρτῃ δυσαμένη πενίην.

Ὡς δὲ

Quarti autem sunt dilaniationes, & canes pigri,
Quinti autem alites, & ira Iouis est.
Qui ergo Grammaticus potest post quinque diras,
Et quinq; casus non magnum dolorem habere.

Ejusdem.

Callimachum vendo, & Pindarum, atq; adeò ipsos
Casus Grammaticæ casum habens paupertatis.
Dorotheus enim meam nutricem Syntaxin sustulit
Adeo vt illo, quod bibam, & comedam, indigeam.
Sed tu mei curam habe Deo amice, neq; me sinas
Conjunctione paupertatis vitam transigere.

EVPITHII Athenæi qui distinxerat librum universalem.

Tautalogorum Canonum vah quanta copia! & obscu-
Characterum, subtilis quos aravit arundo! (rorum
Oculi mei defatigati sunt, cervix, spina, nervi, humeri.
Ab universali nempe reporto dolorem universalem.

PALLADÆ.

Libram annorum cum vixi apud Grammaticã laborio-
Senator mortuorum mittor ad infernum. (sam,

Ejusdem.

Hic pueros docent illi quibus iratus Serapis est
Illis, qui à pestiferâ irâ incipiunt.
Vbi nutrix post mensem affert mercedem coactã,
Libro & chartæ alligans paupertatem.

Volue

Ἂς ἦ κάπισμα λιθᾶι παρὰ τ' θεῖνον, ὡς παρὰ τύμ-
Τὸν Ζμικρὸν χάρτην, τ' παρακειπόμενον. (Con-
Στίχοι ἔχοντες τὰ ἑκκαιδεκάεδρα στοιχεῖα.
Ἀβροχίτων ἦ φύλαξ. Θηροζυγοκαμψιμέτωπος.
Ἀβρὸς δ' ἐν πορφυρᾶις κύκλωψ φθογγάζεται μύρ-
μηξ.

ΕΙΣ ΓΡΑΦΙΔΑ, κεφ. ιη.

Ἡμῖν ἀκρεῖον κάλαμος φυτόν· ἐκ γὰρ ἐμοῖο
Οὐ σῦκ', οὐ μῆλον φύεται, οὐ στάφυλή·
Ἀλλά μ' ἀνὴρ ἐμύησε' ἑλικωνίδα, λέπτα τορήσας
Χείλεα, καὶ στενὸν ῥοιῶι ἐκεῖθεν ἔτεμεν.
Ἐκ τοῦ τά', εἴτε ποιμὶ μέλαν ποτὸν, ἐνθος οἷα,
Πᾶν ἔπος ἀφθέγκτῳ τῶιδε λέγω στόματι.

ΕΙΣ ΓΥΝΑΙΚΑΣ, κεφ. ιθ.

ΠΑΛΛΑΔΑ.

Ὀργὴ δ' διός ἐστι γυνὴ, πυκὸς ἀνδροθεῖσα,
Δῶρον ἀνιηρὸν, τ' πυκὸς ἀντίδοτον.
Ἀνδρα γὰρ ἐκκαίει ταῖς φρονέουσαν, ἡδὲ μαραίνει
Καὶ γῆρας προπετὲς τῆι νεότητι φέρει.
Οὐδὲ' ὁ Ζεὺς ἀμέεμνον ἐχεῖ χρυσόθρονον ἥβην·
Πολλάκι γὰν αὐτῶι ῥίψεν ὀπ' ἀθανάτων,
Ἥβηι καὶ νεφέλῃσι μετήορον. οἶδεν ὁμηρος,
Καὶ δία ζυγρᾴψας τῆι μετὰ χόλιον.
Οὕτως οὐδέποτ' ἐστὶ γυνὴ ζύμφωνος ἀκοίτηι,
Οὐδὲ κε ἐν χρυσέωι μιγνυμένη θαλάμωι.

Τῶν

Velut autẽ suffitum ponit ad sedẽ meã velut sepulchrũ
Parvam chartam abjectam.
Versus continentes viginti quatuor literas.
Molliter vestitus autẽ custos feræ & flexijugæ frontis.
Mollis a. in ostijs fluminũ Cyclops, vocẽ edidit cicadæ.

INCALAMVM SCRIPTORIVM, Cap. XVIII.

Eram agrestis calamus planta. Ex me enim
Non ficus, non pomum provenit, non uva:
Sed me vir initiavit in Helicone natũ, subtile poliens
Labium, & angustum fluxum derivans,
Ex quo simul bibo nigrum potum, tanquam divinæ
Omne verbum muto hoc loquor ore.

IN MVLIERES, Cap. XIX.

PALLADÆ.

Est mulier Iouis Ira loco ignis reddita,
Munus molestum, & pro igne redditum.
Virum enim exurit curis, & tabefacit,
Et senium velox in juuentute adfert.
Neq; Iupiter sine curis habet in aureo sede Iunonem,
Sapiùs ergo ipsam projecit è cælo
Aere & nubibus suspensam. Nouit Homerus
Et Iovem inter alia scripsit conjugi iratum.
Sic nunquam est mulier consona suo marito,
Ne quidem cum in aureo cum ipso miscetur sola.

Ejusdem.

Τοῦ αὐτοῦ.

Πᾶσαν ὅμηρος ἔδειξε κακὴν σφαλερήν τε γυναῖκα·
Σώφρονα καὶ πόρνην, ἀμφοτέρας ὄλεθρον.
Ἐκ γὰρ τῆς ἑλένης μοι χεύσαμένης, φόνος ἀνδρῶν·
Καὶ διὰ σωφροσύνην πηνελόπης, θάνατοι.
Ἰλιὰς οὖν τὸ πόνημα, μιᾶς χάριν ἐστὶ γυναικός·
Αὐτὰρ ὀδυσσείη πηνελόπη πρόφασις.

Τοῦ αὐτοῦ.

Ὁ ζεὺς ἀντὶ πυρὸς πῦρ ὤπασεν ἄλλο, γυναῖκας
Εἴθε δὲ μήτε γυνή, μήτε τὸ πῦρ ἐφάνη.
Πῦρ μὲν δὴ ταχέως καὶ σβέννυται· ἡ δὲ γυνὴ, πῦρ
Ἄσβεστον, φλογερὸν, πάντοτ' ἀναπτόμενον.

Τοῦ αὐτοῦ.

Ἂν πάνυ κομπάζῃς προστάγματι μὴ ὑπακούειν
Τῆς γαμετῆς, ληρεῖς· οὐ γὰρ ἀπὸ δρυὸς εἶ, (κην
Οὐδ' ἀπὸ πέτρης, φασὶν, ὅθ' οἱ πολλοὶ κατ' ἀνάγ-
Πάσχομεν. εἰ πάντες, καὶ σὺ γυναικοκρατῇ.
Εἰ δ' οὐ, σανδαλίῳ φῇς τύπτομαι, οὐδ' ἀκολάστου
Οὔσης μοι γαμετῆς χρή με μύσαντα φέρειν·
Δουλεύειν σε λέγω μετριώτερον, εἴγε πέπρασαι
Σώφρονι δεσποίνῃ, μηδὲ λίην χαλεπῇ.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Ἔπταρον ἄγχι τάφοιο, καὶ ἤθελον αὐτὸς ἀκοῦσαι
Οἷά περ ὠϊσάμην μοῖραν ἐμῆς ἀλόχου.
Ἔπταρον εἰς ἀνέμους, ἄλοχον δέ μοι οὔτι κιχάνει
Αὐγρὸν ἐν ἀνθρώποις, οὐ νόσος, οὐ θάνατος.

Εἰς

Ejusdem.

Omnẽ Homerus ostendit malam & fallacẽ mulierem,
Castam & meretricem, vtramq; perniciosam.
Ex Helenâ enim adulterâ cædes virorum:
Et propter pudicitiam Penelopes, interitus.
Ilias igitur Poëma est propter vnicam mulierem,
Sed Odysseæ Penelope dedit occasionem.

Ejusdem.

Iupiter pro igne ignem dedit alium, mulieres,
Vtinam autem nec mulier nec ignis apparuisset!
Ignis tamen statim extinguitur, Mulier autem ignis,
Inextinguibilis, flagrans, omnia vbiq; corripiens.

Ejusdem.

Si vel maximè jactas imperio te non obedire
Vxoris, insanis. Non enim è quercu es,
Nec ex petrâ, quod dicitur: quod omnes necessariò
Patimur. & si omnes certè & tu cogeris ab vxore.
Si non, sandalio, inquis, verberor, neq; adeo proterva
Mihi vxor sit, decet me illa conniventem ferre.
Servire tè dico mediocriùs, si venditus sis,
Temperanti dominæ, & non nimis immiti.

MACEDONII Principis.

Sternutabã prope sepulchrum, & volebam ipse videre,
Quale existimaui mortem meæ conjugis.
Sternutavi frustra. Vxorem autem mihi nihil corripit
Grave inter homines, non morbus, nec mors.

Εἰς ἀγαμεμνονα.

Ἑλλάδος ἐνναετῆρες ἀμεμφέες ἡγεμονῆες,
Μηκέτι πιστὰ φέροι τε γυναιξὶ δολοφρονεούσαις.
Θηλυτέρη μ' ἐδάμασσε, τὸν οὐ κτάνε δήϊος ἕκτωρ.

ΕΙΣ ΔΕΝΔΡΑ, κεφ. κ.

ΑΝΤΙΠΑΤΡΟΥ, οἱ δὲ, ΠΛΑΤΩΝΟΣ.

Εἰνοδίην καρύην με παρερχομένοις ἐφύτευσαν
Παισὶ λιθοβλήτου παίγνιον εὐστοχίης.
Πάντας δ' ἀκρεμονάς τε καὶ εὐθαλέας ὀροδάμνους
Κέκλασμαι, πυκιναῖς χερμάσι βαλλομένη.
Δένδρεσιν εὐκάρποις οὐδὲν πλέον. ἦ γὰρ ἔγωγε
Δυσδαίμων ἐπ' ἐμὴν ὕβριν ἐκαρπιφόρουν;

ΚΑΛΛΙΝΙΟΥ.

Ἡ πάρος ἐν δρυμοῖσι νόθης ζείδωρος ὀπώρης
Ἀχρὰς, θηροβότου πρέμνον ἐρημοσύνης,
Ὀθνείοις ὄζοισι μετέμφυτος, ἥμερα θάλλω,
Οὐκ ἐμὸν ἡμετέροις κλωσὶ φέρουσα βάρος.
Πολλή σοι φυτοεργὲ πόνου χάρις· εἵνεκα σεῖο
Ἀχρὰς ἐν εὐκάρποις, δένδρεσιν ἐγγράφομαι.

ΛΕΩΝΙΔΟΥ.

Μὴ μέμψῃ ἀπέπειρον ἀεὶ θάλλουσαν ὀπώρην,
Ἀχράδα, τὴν καρποῖς πάντοτε βριθομένην.
Ὀππόσα γὰρ κλάδοισι πεπαίνομεν, ἄλλος ὑφέλκει·
Ὀππόσα δ' ὠμὰ μένει, μητρὶ περικρέμαται.

ΦΙΛΙΡ-

Græciæ novennales inculpati principes,
Non amplius fidem habeatis mulieribus dolosis.
Mulier me domuit, quem non occidit hostilis Hector.

IN ARBORES, Cap. XX.

ANTIPATRI, vt alij PLATONIS.

Propevia juglandem nucē me prætereuntib plantarunt
Pueris in lapidib. mittēdis ludibrium dexteritatis.
Omnes enim bene florentes ramos
Fracta sum, continuis lapidibus petita. (ego
Arborib. frugiferis nulla melior conditio est. Nonne n.
Infelix in meam contumeliam fructum produxi?

GALLINII.

Quæ antea in silvis spurij fertilis fructus
Pyrus silvestris, solitudinis robur desertæ eram:
Externis ramis insita, mansueta floreo
Non meum meis ramis ferens onus.
Multa tibi, ô insitor ob laborem gratia Propter te
Pyraster inter bonos frugiferos arbores numeror.

LEONIDÆ.

Ne me reprehendas immaturū semper proferentē fru-
Silvestrem pyrum: fructibus undiq; onustam. (ctum,
Quæcunq; enim in ramis maturamus, alius aufert,
Immatura autem, circum matrem dependent.

ΦΙΛΙΠΠΟΥ.

Τὸν φιλοωπριστὴν δημόκριτον ἤνπου ἐφεύρῃς
Ὦ ἄνθρωπ', ἄγγειλον τοῦτο τὸ κοῦφον ἔπος.
Ὡς ἡ λευκοόπωρος ἐγὼ καὶ ἐφώριος ἤδη,
Κείνῳ συκοφορῶ τὰς ἀπύρους ἀκόλους.
Σπευσάτω, οὐκ ἐχυρὴν γὰρ ἔχω στάσιν, εἴπερ ὀπώρην
Ἀκρήτου χρῄζει δρέψαι ἀπ' ἀκρέμονος.

ΛΕΩΝΙΔΟΥ.

Αὐτοθελεῖς καρποὺς ἀποτέμνομαι, ἀλλὰ πεπείρους
Πάντοτε· μὴ σκληροῖς τύπτετε χερμαδίοις.
Μηνίσει καὶ βάκχος ἐνυβρίζοντι τὰ κείνου
Ἔργα. λυκούργειος μὴ λαθέτω σε τύχη.

ΑΝΤΙΦΙΛΟΥ βυζαντίου.

Κλῶνες ἀπηόριοι ταναῆς δρυὸς, εὔσκιον ὕψος
Ἀνδράσιν ἄκρητον καῦμα φυλασσομένοις,
Εὐπέταλοι, κεράμων στεγανώτεροι, οἰκία φωτῶν,
Οἰκία τεττίγων, ἔνδιοι ἀκρέμονες,
Κἀμὲ τὸν ὑμετέρῃσιν ὑποκλινθέντα κόμῃσι
Ῥύσασθ', ἀκτίνων ἠελίου φυγάδα.

ΖΩΝΑ.

Ὤνερ, τῶν βαλάνων τὰν ματέρα φείδεο κόπτειν,
Φείδεο· γηραλέαν δ' ἐκκεράϊζε πίτυν,
Ἢ πεύκαν, ἢ τάνδε πολυστέλεχον παλίουρον,
Ἢ πρίνον, ἢ ταύτην ἀναλέαν κόμαρον.
Τηλόθι δ' ἴσχε δρυὸς πέλεκυν. κόκυαι γὰρ ἔλεξαν
Ἀμῖν ὡς πρότεραι ματέρες ἐντὶ δρύες.

Ἀδέσπο-

Fructibus gaudentem Democritum sicubi invenias,
O homo, annuncia illi hoc leve verbum,
Quod albus fructibus ego, & tempestiva jam
Ipsi fructus produco, non coquendos cibos.
Festinet (Non enim tutũ habeo statũ) Siquidẽ fructus
Non tacto ab alijs cupit decerpere è ramo.

LEONIDÆ.

Vltroneos fructus à me abijcio, sed maturos
Vndiq̃, ne gravibus me pulsate lapidibus.
Irascitur & Bacchus illi, qui injuriosus est in illius
Inventa. Lycurgea non lateat te fortuna.

ANTIPHILI Byzantii.

Rami altè pendentes proceræ quercus, umbrosa altitudo
Hominibus magnam colorem evitantibus,
Frondosi, tegulis densiores, inhabitatio virorum,
Domus cicadarum, meridiani rami.
Et me vestris reclinatum sub foliis
Liberate, radiorum solis profugum.

ZONÆ.

O vir glandium matrem parce amputare,
Parce, Senilem verò exscinde pinum,
Aut piceã, aut hanc multos habentem truncos paliurũ,
Aut ilicem, aut aridam arbitum.
Procul a inhibe à quercu securim. Avi n. dixerunt
Nobis, quod primæ matres sint quercus.

Ἀδέσποτον.

Παλλάδος εἰμὶ φυτὸ, βρομίου τί με θλίβετε κλῶνες,
Αἴρετε σοῦ βότρυας, παρθένος οὐ μεθύω.

ΦΙΛΙΠΠΟΥ.

Φοῖβον ἀνῃναμένη ποτὲ δάφνη, νῦν ἀνέτειλε
Καίσαρος ἐκ βωμοῦ, κλῶνα μελαμπέταλον.
Ἐκ δὲ θεοῦ θεὸν εὗρεν ἀμείνονα, λητοΐδην γὰρ
Ἐχθήρασα, φιλεῖ ζῆνα τὸν αἰνεάδην. (τρης.
Ῥίζαν δ' οὐκ ἀπὸ γῆς μητρὸς βάλεν, ἀλλ' ἀπὸ πέ-
Καίσαρι μὴ τίκτειν οὐδὲ λίθος δήναται.

Εἰς δάφνην ἀξίνῃ κοπτομένην.

Ποῖ φοῖβος πεπόρευτο, ἄρης ὅτ' ἐμίγνυτο δάφνῃ;

Εἰς κλινάριον πόρνης ἀπὸ δάφνης.

Λέκτρον ἑνὸς φεύγουσα, λέχος πολλοῖσιν ἐτύχθην.

ΕΡΜΟΚΡΕΟΝΤΟΣ.

Ἰζεῦ ὑπὸ σκιερὰν πλάτανον ξένε τάνδε παρέρπων,
Ἃς ἁπαλῷ ζέφυρος πνεύματι φύλλα δονεῖ.
Ἔνθα με νικαγόρας κλυτὸν εἴσατο μαιάδος ἑρμᾶν,
Ἀγροῦ καρποτόκου ῥύτορα καὶ κτεάνων.

Ὡς ἀπὸ πανός.

Ἔρχεο, καὶ κατ' ἐμὰν ἴζευ πίτυν, ἃ τὸ μελιχρὸν
Πρὸς μαλακοὺς ἠχεῖ κεκλιμένα ζεφύρους.
Ἠνὶ δὲ καὶ κρούνισμα μελισταγὲς, ἔνθα μελίσδων,
Ἡδὺν ἐρημαίοις ὕπνον ἄγω καλάμοις.

ΠΛΑ-

Incerti.

Palladis sum frutex. Bromij quid me affligitis rami?
Tollite uvas. Ego virgo non ebria sum.

Philippi.

Phœbum recusans olim Daphne: jam produxit
Cæsaris ex aris ramum nigra folia habentem.
Ex Deo verò Deum invenit meliorem. Latoidem
Odio prosecuta, amat Iovem Æneadem.
Radicem autem non ex terrâ matre emisit, sed è petrâ.
Cæsari autem parere me lapis quidem non potest.

In laurum securi succisam.

Quorsũ abijt Phœbus, Mars cũ cõmiscereturDaphnæ?

In lectulum meretricis è lauru.

Lectum unius fugiens, cubile multis facta sum.

Hermocreontis.

Conside sub umbrosâ platano, ô hospes, hâc, prateriens,
Cujus molli Zephyrus flamine folia agitat.
Vbi me Nicagoras inclytum posuit Majæ filiũ Mercu-
Agri fructiferi servatorem, & opum. (rium,

Tanquam à Pane diceretur.

Veni, & juxta meam conside pinum quæ suaviter
Ad molles resonat reclinata Zephyros.
En tibi & torrentem mellifluum, vbi canens
Dulcem solitarijs somnum traho calamis.

Υψίκομον παρὰ τάνδε καθίζεο φωνήεσσαν
Φρίσσουσαν πυκνοῖς κῶμον ὑπὸ ζεφύροις.
Καὶ σοι καγχλάζουσιν ἐμοῖς παρὰ νάμασι σύριγξ
Θελγομένῳ, ἄξει κῶμα κατὰ βλεφάρων.

Εἰς τινὰ θανόντα ὑπὸ πλησμονῆς
περσικῶν μήλων.

Εκ φονίων περσῶν φόνιον φυτὸν ἤγαγε περσεὺς
Παιδὶ θεογνώστου τοῦ θανάτου πρόφασιν.

Εἰς ἀναδενδράδα.

Οχνη, χειρὸς ἐμῆς γλυκερὸς πόνος· ἦ μὲν ἐφ' ὑγρῷ
Φλοιῷ φλοιὸν ἔδησα θέρει. πτόρθον δ' ἐπὶ δένδρῳ
Ριζώθη. δένδρου δὲ τομὴ καὶ καρπὸν ἄμειψεν.
Νέρθε μὲν ἀχρὰς ἔτ' ἔστιν, ὕπερθε δ' ἄρ' εὔπνοος (ὄγχνη.

Αδηλον.

Δάφναις καὶ μύρτοισι καὶ εὐώδει κυπαρίσσῳ,
Ενθα πέριξ κέχυται βοτρυόπαις ἕλικι
Αμπελος. εἰαρινοὶ δὲ λιγυφθόγγοισιν ἀοιδαῖς
Κόσσυφοι ἀχεῦσιν ποικιλότραυλα μέλη·
Ξουθαὶ ἀηδονίδες μινυρίσμασιν ἀντιαχεῦσι,
Μέλποισαι στόμασιν τὰν μελίγηρυν ὄπα.

Αδηλον.

Ιζεῦ ἅπας ὑπὸ τῆς δὲ δάφνης εὐθαλέα φύλλα,
Ωραίου τ' ἄρυσαι νάματος ἡδὺ πόμα·
Οφράτοι ἀσθμαίνοντα πόνοις θέρεος φίλα γυῖα,
Αμπαύσῃς πνοιῇ τυπτόμενα ζεφύρου.

ΑΝΤΙ-

Alticomam juxta hanc pinum conside vocalem
Insonantem crebris lascivum cantum Zephyris.
Et tibi strepentes meos apud fontes fistula
Delectato adducet altum somnium oculis.

In quendam mortuum ex satietate Persicorum malorum.

E mortiferis Persis mortiferam arborẽ attulit Perseus,
Puero Theognostæ mortis causam.

In arbustum.

Pyrus, manus meæ dulcis labor. Siquidem ego tenero
Cortice corticẽ ligavi in æstate. Ramus verò in arbore
Radices egit. Arboris verò sectio, & fructus reposuit:
Infra pyraster adhuc, supra verò benè spirans pyrus.

Incerti.

Lauru, & myrtis, & flagranti Cypariſſo,
Vbiq; circumfunditur botri filia capreolo
Vitis. Vernæ autem dulce sonantibus cantilenis
Merulæ queruntur, variè balbutiendas cantilenas,
Celeres autem luscinie querulæ sonitu contra resonant,
Canentes ore mellifluam vocem.

Incerti.

Conside, quicunq; es sub hujus lauri benè virentia folia,
Et limpidi hauri fontis dulce poculum.
Vt fessa tibi per labores æstatis amica membra
Recrees spiramine, afflicta, Zephyri.

ΑΝΤΙΦΙΛΟΥ.

Μῆλον ἐγὼ στρούθειον ἀφ' ὁπλοτέρης ἐτι ποίης,
Ωριον ἐν νεαρῷ χρωτὶ φυλασσόμενον,
Ασπίλον, ἀρρυτίδωτον, ἰσόχνοον ἀρτιγόνοισιν,
Ακμὴν εὐπετάλοις συμφυὲς ἀκρέμοσιν,
Ωρης χειμερίης σπάνιον γέρας. εἰς σὲ δ' ἄνασσαν
Τοίην χὠ νιφόεις κρυμὸς ὀπωροφορεῖ.

ΕΙΣ ΔΙΚΑΙΟΣΥΝΗΝ, κεφ. κα.

Αδηλον.

Τίς σε δικαιοσύνη βροτὸς ἤκαχεν; ὅστος ὁ κλέπτης
Ενθάδε με στήσας, οὐδὲν ἔχων πρὸς ἐμὲ.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων αἰγυπτίου.

Ηθελε μὲν βασιλεύς σε βοηθόον εἰσέτι πέμπειν
Αστεσι τειρομένοις δευομένων μερόπων,
Τιτιανὲ χρύσειε· σὺ δ' ἐν βιότοιο γαλήνῃ
Πατρίδα καὶ κλῆρον σὸν προβέβουλας ἔχειν,
Αὔξων σῶν προγόνων κτέρας ἔν δικον. ἀρχομένων γὰρ
Πλοῦτον ὅτι στυγέεις, συνθρόνος οἶδε δίκη.

ΛΕΩΝΙΔΟΥ εἰς τραπεζίτην κάϊκον
διασυρκτικόν.

Αστοῖς καὶ ξείνοισιν ἴσον νέμει ἅδε τράπεζα.
Θεὶς, ἀνελεῦ, ψήφου πρὸς λόγον ἐρχομένης.
Αλλος τις πρόφασιν λεγέτω· τὰ δ' ὀθνεῖα κάϊκος
Χρήματα καὶ νυκτὸς βουλομένοις ἀριθμεῖ.

ΕΙΣ

ANTIPHILI.

Malum ego Struthêum ex recentiore adhuc folio
Maturum in juvenili quasi corpore conseruatum
Immaculatum sine rugis, simili cum infantib. lanugine
Adhuc bene foliatis adnatum ramis.
Tempore hiemali rarum munus. In te verò heram
Talem etiam nivalis algor poma confert.

IN IVSTITIAM, Cap. XXI.

Incerti.

Quis te, ô justitia homo, tristem reddidit? Hic latro
Hoc loco me constituens nil habuit contra me.

IVLIANI.

Voluit quidem rex te adjutorem adhuc mittere
Vrbibus vexatis indigentium virorum,
Titiane auree. Tu verò in vitæ tranquillitate
Patriam & fortunam tuam maluisti tenêre (enim
Aucturus tuorũ majorum possessionẽ justam. Subditorũ
Opes quod averseris judicio tibi assidẽs scit justitia.

LEONIDÆ in trapezitam Caicum, cavillatorium.

Civibus & hospitibus æqualiter se habet hæc mensa
Pone, aufer, calculus cum ad æstimationẽ procedit.
Alius quispiam causam dicat. Alienas verò Caicus
Divitias etiam noctu, si quis velit, numerat.

IN

ΕΙΣ ΔΙΚΗΝ, ΕΝ Ω ΚΑΙ ΕΙΣ πρόνοιαν, κεφ. κβ.

Αδηλον.

Ασπίδ' ἀχιλλῆος τὴν ἕκτορος αἷμα πιοῦσαν,
Λάρτιάδης δαναῶν εἷλε κακοκρισίῃ·
Ναυηγοῦ δὲ θάλασσα κατέσπασε, καὶ παρὰ τύμβον
Αἴαντος νηκτὴν ὥρμισεν, οὐκ ἰθάκῃ.

Εἰς τὸ αὐτό.

Καλὰ ποσειδάων δίκασεν πολὺ μᾶλλον ἀθήνης,
Καὶ κρίσιν ἑλλήνων συγερὴν ἀπέδειξε θάλασσα.
Ασπὶς ἐν αἰγιαλοῖσι βοᾷ, καὶ σῆμα τινάσσει,
Αὐτόν σ' ἐκκαλέουσα τὸν ἄξιον ἀσπιδιώτην,
Εγρεο παῖ τελαμῶνος, ἔχεις σάκος αἰακίδαο.

Αδηλον.

Κρανίον ἐν τριόδοισι κατοιχομένου τὶς ἐσαθρῶν,
Εἰκόνα τὴν κοινὴν οὐκ ἐδάκρυσε βίου·
Δεξιτερὴν δ' ἔρριψεν ἐπὶ χθόνα, καὶ λίθον ἧκε,
Κωφὸν μὲν δοκέοντ', ἀλλὰ πνέοντα δίκης.
Οστέον ὡς γὰρ ἔπληξεν, ἀφήλατο, καὶ τὸν ἀφέντα
Πήρωσε, γλυκεροῦ βλέμματος ὀρφανίσας.
Καὶ πάλιν εἰς ἀΐδην ἐκολάζετο· τὴν ἰδίην δὲ
Εκλαύσεν χειρῶν εὔστοχον ἀφροσύνην.

ΒΙΑΝΟΡΟΣ.

Αγγελίην πὰρ ζηνὸς ἐπεὶ φέρεν ἠεροδινὴς
Αἰετὸς, οἰωνῶν μοιῶος ἐνουράνιος,

Οὐκ

Incerti.

Hastam Achillis Hectoris sanguinem bibentem
Laërtiades Græcorum abstulit malo judicio.
Naufragio verò mare abstulit, & ad tumulum
Ajacis natatilẽ cũ impetu compulit, nõ in Ithacam.

In idipsum.

Recta judicavit Neptunus multò magis, quã Minerua,
Et judiciũ Græcorũ odio dignum demonstravit mare,
Hasta in littore resonat, & sepulchrum quatit,
Ipsum te invocans dignum hastæ jaculatorem.
Evigila puer Telamonis: habes hastam Aeacidæ.

Incerti.

Cranium in trivijs mortui aliquis intuens
Effigiem communem non deflevit vitæ.
Dexteram autem in terram misit, & lapidem projecit,
Surdum quidem visum, sed spirantem pœnas.
Os enim cum percussisset, subsiliit, & illũ qui se miserat
Mutilavit, dulci visu ipsum priuans.
Et rursus in orco pœnas dedit. Propriam verò
Deflevit manuum in jaculando peritam stultitiam.

BIANORIS.

Nuncium aliquod à Iove cum ferret in aëre se librans
Aquila avium sola cælestis,

Non

Οὐκ ἔφθη τὸν κρῆτα, θοὴν δ' ἐνετείνατο νευρὴν,
Πτηνὸν δ' ὁ πτερόεις ἱὸς ἐληΐσατο.
Ζηνὸς δ' οὔτι δίκην ἔλαθεν νόμος· ἔμπεσε δ' ὄρνις
Ανδρὶ, τὰ δ' εὐστοχίης ἀνταπέτισε βέλη·
Αὐχένι δ' ἰὸν ἔπηξεν, ὃν ἥπατι κοίμισεν αὐτός.
Εν δὲ βέλος δισσῶν αἷμ' ἔπιεν θανάτων

ΦΙΛΙΠΠΟΥ.

Βαιὸν ἀποπλανίην λιπομήτορα παῖδα κορύπτων
Κριὸς ἑλιξόκερως, θεῖνε θρασυνόμενος·
Κάπρος δ' ἡράκλειος ἀπόρρηξας ἀπὸ δεσμῶν,
Ες νηδὺν κριοῦ πᾶσαν ἔβαψε γένυν,
Ζωὴν νηπιάχῳ δ' ἐχαρίσσατο· ἆρ' ἀπὸ ἥρης,
Ηρακλέης βρεφέων ὤκτισεν ἡλικίην.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Γήθησαν περὶ παιδὸς ἀριστίπποιο τοκῆες,
Καὶ κλαῦσαν· μοίρης δ' ἦμαρ ἐν ἀμφοτέρης.
Εὖτε γὰρ αἰθόμενον δόμον ἔκφυγεν, ἰθὺ κεραυνοῦ
Ζεὺς κατά οἱ κεφαλῆς ἄσπετον ἧκε σέλας.
Τοῦτο δ' ἔπος τότ' ἔλεξαν ὅσοι νέκυν ὠδύροντο,
Ὦ πυρὶ δαιμονίῳ τλῆμον ὀφειλόμενε.

Τοῦ αὐτοῦ.

Ιοτυπὴς διὸς ὄρνις ἐτίσατο κρῆτα φαρέτρης,
Οὐρανόθεν τόξῳ τόξον ἀμυνόμενος.
Κεῖνον δ' εὐθὺς ἄκοντι παλινδρομέοντι κατέκτα.
Ηερόθεν πίπτων δ' ἔκτανεν, ὡς ἔθανεν.

Μηκέτ'

Non effugit Cretensem sagittarium. Velocem. a. interdit
Volucremq; alata sagitta prædam accepit. (arcũ,
Iouis autem lex non pœnã fefellit. Incidit enim avis
In virum, & ob dexteritatẽ rursus ultra est sagitta,
Cervici. a. telum infixit, quod epati consopivit ipsa,
Vnum telum duorum sanguinem bibit fatorum.

PHILIPPI.

Parvum errabundũ matre destitutũ puerũ cornu feriens
Aries curvis cornibus percussit laserviens.
Aper autem Herculeus erumpens fractis è vinculis
In ventrem arietis omnem intinxit dentem.
Vitamq; infanti dedit. Sanè propter Iunonem
Hercules infantium miserius est & aratem.

APOLLONIDÆ.

Gavisi sunt ob puerum Aristippi parentes,
Et fleverunt. Sortis autem vnus dies utriusq.
Cum enim arden em domum effugisset, statim fulminis
Iupiter illi in caput immensum demisit fulgur.
Hoc verò verbum tunc dicebant, qui mortuũ lugebant
O igni divino, miser, qui debitus es!

Ejusdem.

Telo læsus Iovis ales punivit Cretensem ob pharetram,
Cœlitus sagittâ sagittam vleiscens.
Illum enim statim cuspide retortâ interemit.
Ex aere decidens occîdit, cum occideret.

Non

Μηκέτ' ἐφ' ὑμετέροις ἀψευδέσι κρῆτες ὀϊστοῖς
Αὐχεῖθ'· ὑμνείσθω καὶ διὸς εὐστοχίη.

ΑΡΧΙΟΥ.

Εν ποτε παμφαίνοντι μελάντερος αἰθέρι νωμῶν
Σκορπίον ἐκ γαίης οἶδε θορόντα κόραξ.
Ον μάρψων ὤρουσεν. ὁ δ' ἀΐξαντος ἐπ' οὖδας
Οὐ βραδὺς εὐκέντρῳ πέζαν ἔτυψε βέλει,
Καὶ ζωῆς μιν ἄμερσεν· ἴδ' ὅσσον ἔτευχεν ἐπ' ἄλλῳ,
Εκ κείνου τλήμων αὐτὸς ἔδεκτο μόρον.

Αδηλον.

Ανδροφόνω σαθρὸν παρὰ τειχίον ὑπνώοντι
Νυκτὸς ἐπιστῆναί φασι σάραπιν ὄναρ.
Καὶ χρησμωδῆσαι, κατακείμενος ὄντος ἀνίστω,
Καὶ κοιμῶ μεταβὰς ὦ τάλας ἀλλαχόθι.
Ος δὲ, διυπνισθεὶς μετέβη. τὸ δὲ σαθρὸν ἐκεῖνο
Τειχίον ἐξαίφνης εὐθὸς ἔκειτο χαμαί.
Σῶτρα δ' ἕωθεν ἔθυε θεοῖς χαίρων ὁ κακοῦργος,
Ηδεσθαι νομίσας τὸν θεὸν ἀνδροφόνοις.
Αλλ' ὁ σάραπις ἔχρησε πάλιν διὰ νυκτὸς ἐπιστὰς,
Κήδεσθαί με δοκεῖς ἄθλιε τῶν ἀδίκων;
Εἰ μὴ νῦν σε μεθῆκα θανεῖν, θάνατον μὲν ἄλυπον
Νῦν ἔφυγες, σταυρῷ δ' ἴσθι φυλαττόμενος.

ΤΥΛΛΙΟΥ ΓΕΜΙΝΟΥ.

Σμίνθος ὁ παντοίης δαιτὸς λίχνος, οὐδὲ μυάγρης
Δειλὸς, ὁ κἀκ θανάτου κέρδεα λῃζόμενος,

Νευρο-

Non amplius vestris certis, Cretenses, sagittis
Insolescite. Laudetur v. & Iovis jaculandi peritia,

Archii.

In toto quondam fulgente niger æthere volans
Scorpium in terrâ vidit salientem corvus.
Quem corripiens impetum fecit. Is v. rapientis è terrâ
Non tardus aculeato pedem pupugit jaculo.
Et vitâ ipsũ privavit. Ecce quod machinatus est alij,
Ex illo miser ipse sortitus est mortem.

Incerti.

Latronem ruinosum ad murum dormientem
Noctu surgere iussisse, ajunt, Serapin in somnijs,
Et vaticinatum: Quî sic recumbis? surge,
Et dormi discedens, ô miser, alibi:
Hic verò evigilans discessit, Ibi verò ruinosus ille
Murus extemplo subitus ponebatur humo.
Sospita autem mane soluit Diis gaudens, ille malignus,
Delectari ratus Deum homicidis.
Verum Serapis vaticinatus est rursus nocte astans,
Curare me censes, ô miser, injustos?
Licet n. jam non sivi te mori mortẽ quidem, sine dolore
Effugisti, nunc. cruci autem scito quod conservêris.

Tvllii Gemini.

Mus omnium epularum heluo, nec muscipulam
Curans, qui etiam ex morte lucra prædaretur.

Νευρολάλον φοίβου χορδὴν θρίσεν· ἡ δ' ἐπὶ πήχυν
Ἑλκομένη, θηρὸς λαιμὸν ἀπεβρόχισεν.
Τόξων εὐστοχίην θαυμάζομεν· ὃς δὲ κατ' ἐχθρῶν
Ἤδη καὶ κιθάρην εὔστοχον ὅπλον ἔχει.

ΒΙΑΝΟΡΟΣ.

Ἰχθύσι καὶ ποταμῷ κλειτώνυμον ἐχθρὸς ὅμιλος
Ὦσεν, ὅτ' εἰς ἄκρην ἦλθε τυραννοφόνος.
Ἀλλὰ δίκα μιν ἔθαψεν. ἀποσπασθεῖσα γὰρ ὄχθη
Πᾶν δέμας ἐς κορυφὴν ἐκ ποδὸς ἐκτέρισεν.
Κεῖται δ' οὐχ ὑδάτεσσι διοίβροχος· αἰδομένα δὲ
Γᾶ κεύθει τὸν ἑᾶς ὅρμον ἐλευθερίας.

ΕΙΣ ΔΥΣΠΡΑΓΙΑΝ,
κεφ. κγ.

ΦΙΛΙΠΠΟΥ.

Εβρου θρηϊκίου κρυμῷ πεπεδημένον ὕδωρ
Νήπιος ἐκβαίνων, οὐκ ἔφυγεν θάνατον.
Ἐς ποταμὸν δ' ἤδη λαγαρούμενον ἴχνος ὀλισθὼν
Κρυμῷ σοῦν ἁπαλοὺς αὐχένας ἀμφεκάρη.
Καὶ τὸ μὲν ἐξεσύρη λοιπὸν δέμας· ἡ δὲ μένουσα
Ὄψις ἀναγκαίην εἶχε τάφου πρόφασιν.
Δύσμορος ἧς ὠδῖνα διείλετο πῦρ' τε καὶ ὕδωρ·
Ἀμφοτέρων δὲ δοκῶν, οὐδένος ἐστιν ὅλος.

ΑΝΤΙ-

Nervi loquã Phœbi chordã incidit. Quæ ad verticillos
Retracta muris guttur strangulauit. (citharæ
Sagittandi peritiam miramur, vt quam contra hostes
Iã quoq; citharam jaculandi peritum telum habeat.

BIANORIS.

Piscibus & fluvio Cletonymum hostilis turba
Abjecit, cum in arcem venisset tyrannicida.
Sed justitia ipsum sepelijt. Divulsa enim ripa
Totum corpus ad verticem à pede usq; obruit.
Iacet autem non aquis madidus. Erubescens enim
Terra occultat suum portum libertatis.

IN INFELICITATEM, Cap. XXIII.

PHILIPPI.

Hebri Thracij glacie concretam aquam
Puer conscendens non effugit mortem.
In fluvium verò lubrico vestigio prolapsus
Glacie teneras cervices abscissus est.
Tractum a. est à flumine reliquum corpus. Reliquum a.
Caput necessariam habuit sepulturæ ansam.
Infelix mater! cujus partum diripuit ignisq; & aqua,
Cumq; verius q; videatur nullius est totum.

ΑΝΤΙΠΑΤΡΟΥ.

Εἶχεν ἀριστείδης ὁ βοκέρριος οὐκ ἀπὸ πολλῶν
Πολλὰ, μιῆς δ' ὄϊος καὶ βοὸς εὐπορίην.
Ἀλλὰ γὰρ οὐδ' ὁ πένης ἔφυγε φθόνον· ἤματι δ' αὐτῷ
Θῆρες ὄϊν, τὴν βοῦν δ' ὤλεσε δυστοκίη.
Μισήσας δ' ἀβληχὲς ἐπαύλιον, ἅμματι πήρης
Ἐκ ταύτης βιοτὴν ἀχράδος ἐκρέμασεν.

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Πλοῦτος ἀριστείδῃ δάμαλις μία, καὶ τριχόμαλλος
Ἦν ὄϊς· ἐκ τούτων λιμὸν ἔλαυνε θύρης.
Ἤμβροτε δ' ἀμφοτέρων· ἀμνὴν λύκος ἔκτανεν, ὠδὶς
Τὴν δάμαλιν· πενίης δ' ὤλετο βουκόλιον.
Προδέτῳ δ' ὄγ' ἱμάντι κατ' αὐχένος ἅμμα λυγώ-
Οἰκτρὸς ἀμυκήτῳ κάτθανε πὰρ καλύβῃ. (σας

ΦΙΛΙΠΠΟΥ εἰς τὸ αὐτό.

Ἠρίθμει πολὺν ὄλβον ἀριστείδης ὁ πενιχρός.
Τὴν ὄϊν, ὡς ποίμνην. τὴν βόα δ', ὡς ἀγέλην.

Τὰ λοιπὰ ὡς τὰ πρὸ τούτου. Ἤμβροτε, καὶ ἑξῆς.

Ἀδήλον.

Αἱ τρισσαί ποτε παῖδες ἐν ἀλλήλῃσιν ἔπαιζον
Κλήρῳ, τὶς προτέρη βήσεται εἰς ἀΐδην.
Καὶ τρεῖς μὲν χειρῶν ἔβαλον κύβον, ἦλθε δὲ πασέων
Ἐς μίαν· ἡ δ' ἐγέλα κλῆρον ὀφειλόμενον.
Ἐκ τέγεος δ' ἄρ' ἄελπτον ἀπωλίσθησε πέσημα.
Δύσμορος. εἰς ἀΐδην δ' ἤλυθεν ὡς ἔλαχεν.

Ἀψευ-

Antipatri.

Habebat Aristides Bocerrius non à multis
Multa, sed unius ovis & vaccæ divitias.
Qui tamen licet pauper non effugit fortunã. Sed uno die
Feræ ovem, vaccã vero perdidit difficultas partus.
Odio verò habens balatu carentem villam, vinculo peræ
Pyrastro ex hoc vicino vitam suspendit.

Ejusdem in idem.

Opes Aristidæ bucula una, & lanigera
Erat ovis. His famem expulit à januâ.
Privatus a. est utrâq; ovem. n lupus occidit, partus
Buculam, pauperis verò perdidit armentum.
Peræ vero corrigiâ hic circa cervicem nodum flectens
Miser expers balatu mortuus est prope tugurium.

Philippi in Idem.

Numerabat multas divitias Aristides pauper,
Ovem tanquam gregem, & vaccam tanquam armentũ.
Reliqua ut supra: Privatus autem est, &c.

Incerti.

Ternæ olim puellæ inter se invicem ludebant
Sorte, quænam prior descenderet ad inferos:
Et tres quidẽ è manu projecerunt sortẽ. Venit a. omniũ
In unam. Hæc autem risit sortitionem debitam.
E recto sanè insperato cecidit casu,
Infelix, in infernum autem venit, ut sortita erat.

Αψευδὴς ὁ κλῆρος, ὅτῳ κακόν· ἐς δὲ τὸ λῷον
Οὔτ' εὐχαὶ θνητοῖς εὔστοχοι, οὔτε χέρευ.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Δειματόεις ἐλάφων κεραὸς λόχος, εὖτε κρυώδεις
Πλῆσαν ὀρῶν κορυφὰς χιόνεαι νιφάδες,
Δείλαιαι ποταμοῖσιν ἐφώρμισαν ἐλπίσι χρησταῖς,
Χλιῆναι νοτεροῖς ἄσθμασιν ὠκὺ γόνυ.
Τὰς δὲ περιφράξας ἐχθρὸς ῥόος ἀθρόον ἄφνω,
Χειμερίῃ συγεροῦ δῆσε πάγοιο πέδῃ.
Πληθὺς δ' ἀγροτέρων ἀλίνου θοινήσατο θήρης,
Η φύγεν ἀρπεδόνην πολλάκι καὶ στάλικας.

ΑΝΤΙΦΑΝΟΥΣ.

Δυσμοίρων θαλάμων ἐπὶ παστάσιν οὐχ ὑμέναιος,
Αλλ' ἀΐδης ἔστη πικρογάμου πετάλης.
Δείματι γὰρ μόβοϊν πρωτόζυγα κύπριν ἀν' ὄρφνην
Φεύγουσαν, ξυνὸν παρθενικῇσι φόβον,
Φρουροδόμοι νηλεῖς κυνὲς ἔκτανον. ἢν δὲ γυναῖκα
Ελπὶς ἰδεῖν, αἴφνης ἔσχομεν οὐδὲ νέκυν.

ΛΟΥΚΙΑΝΟΥ.

Τοῖσι μὲν εὖ πράττουσιν πᾶς ὁ βίος βραχὺς ἐστὶ·
Τοῖς δὲ κακῶς, μία νὺξ ἄπλετός ἐστι χρόνος.

ΕΙΣ ΕΛΕΟΝ, κεφ. κδ.

ΦΙΛΙΠΠΟΥ.

Καὶ τὸν ἀρουραῖον γυρητόμον αὔλακα τέμνει
Μηρουτοπεῖ κέντρῳ πειθομένη δάμαλις,

Καὶ

Nẽ mendax fors illi, cui malũ imminet. Ad melius v.
Nec preces hominibus certæ, nec manus.

APOLLONIDÆ.

Timidũ cervarum cornigerum agmen, cum horrendos
Implerunt montium vertices nivales nivis casus,
Miseræ ad flumina accesserunt bonâ spe
Vt tepefacerent humenti anhelitu velocia genua.
Quas circundans hostilis fluctus confertim repente
Hibernâ horribilis ligavit glaciei compede.
Turba vero rustica sine reti comedit, prædam
Quæ fugerat laqueum sæpe, & perticas bifurcas.

ANTIPHANIS.

Infelicium thalamorum in cænaculis non Hymenæus,
Sed mors stetit acerbè nuptæ Petalæ.
Timore enim Moboin, primijugam Venerem per noctẽ,
Fugientem, communi virginibus timore,
Domus custodes truces canes occiderũt. Quã v. feminã
Sperabant videre, repente habuimus nec mortuam.

LVCIANI.

Illis qui feliciter agunt omnis vita brevis est,
Illis a. qui malè vna nox immensum tempus.

IN MISERICORDIAM, Cap. XXIV.

PHILIPPI.

Et ruralem curvisectum sulcum dividit,
Femur pulsanti stimulo obtemperans bucula:

Καὶ μετ' ἀροτροπόνου ζεύγλας πάλι τῷ νεοθηλεῖ
Πινομένη μόσχῳ, δεύτερον ἄλγος ἔχει.
Μὴ θλίψῃς αὐτὴν ὁ γεωμόρος· οὗτος ὁ βαιὸς
Μόσχος, ἐὰν φείσῃ, σοὶ τρέφεται δάμαλις.

Τίνας ἂν εἴποι μελέαγρος, βοὸς μέλλοντος
θύεσθαι τῷ διΐ, καὶ μυκωμένου.
Αὐτὸς ὁ βοῦς, ἱκέτης ἐπιβώμιος, αἰθέριε ζεῦ,
Μυκᾶται, ψυχὴν ῥυόμενος θανάτου.
Ἀλλὰ μέθες κρονίδη τὸν ἀροτρέα· καὶ σὺ γὰρ αὐτὸς
Πορθμεὺς εὐρώπης ταῦρος ἄναξ ἐγένου.

ΕΙΣ ΕΛΠΙΔΑΣ, κεφ. κε.

ΙΟΥΛΙΟΥ ΠΟΛΥΑΙΝΟΥ.

Ἐλπὶς ἀεὶ βιότου, κλέπτει νόον· ἡ πυμάτη δὲ
Ἠὼς τὰς πολλὰς ἔφθασεν ἀσχολίας.

Ἀδηλον.

Ἐλπὶς καὶ σὺ τύχη μέγα χαίρετε. τὴν ὁδὸν εὗρον,
Οὐκ ἔτι γὰρ σφετέροις ἐπιτέρπομαι. ἔρρετε ἄμφω,
Οὕνεκεν ἐν μερόπεσσι πολυπλανέες μάλα ἐστέ.
Ὅσσα γὰρ ἀτρεκέως οὐκ ἔσσεται, ὔμμεν ἐν ἡμῖν
Φάσματα ὡς ἐν ὕπνῳ ἐμβάλλετε, οἷά τ' ἐόντα.
Ἔρρε κακὴ γλήνη, πολυώδυνε· ἔρρετε ἄμφω.
Παίζοιτε, στροφέοιτε ὅσους ἐμεῦ ὕστερον ὄντας,
Εὕροιτ' οὐ νοέοντας ὅπερ θέμις ἐστὶ νοῆσαι.

Αδη-

Et postẽ aratri laborum juga rursus à nuper nato
Exsiccata vitulo, secundam molestiam habet.
Ne adflixeris illam, ô agricola, Hic enim parvus
Vitulus si matri pepercerit, tibi enutritur juvẽcus.

Quæ dixerit verba Meleager, cum bos mactandus esset Iovi, & mugiret.

Ille bos, supplex altari impositus, cælestis Iupiter,
Mugit animam liberare desiderans à morte.
Sed dimitte, ô Saturnie, aratorẽ bovem. Namq; tu ipse
Potitor Europæ taurus rex factus es.

IN SPEM, Cap. XXV.

Iulii Polyæni.

Semper futuræ vitæ spes aufert mentem. Vltima verò
Lux multas præoccupat molestias.

Incerti.

Spes, & tu fortuna longum valete. Semitam inveni,
Non n. amplius rebus vestris delector. Pereatis ambæ,
Eo quod in mortalibus erronei valdè sitis.
Quæcunq; enim verè non erunt, vos in nobis
Horũ apparentias ut in somno inijcitis, quasi jam sint.
Peri mala pupa, calamitosa. Perite ambæ.
Ludatis, versetis, quicunque postẽ me sunt,
Inveniatis, qui non sapiant, quod fas est cognoscere.

Αδηλον.

Ἐλπίδα καὶ νέμεσιν εὔνους παρὰ βωμὸν ἔτευξα,
Τὴν μὲν, ἵν' ἐλπίζῃς· τὴν δ', ἵνα μηδὲν ἔχῃς.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Εἰ βίον ἐν μερόπεσσι τύχης παίζουσιν ἑταῖραι
Ἐλπίδες, ἀμβολάδην πάντα χαριζόμεναι,
Παίζομαι, εἰ βροτός εἰμι. βροτὸς δ' εὖ οἶδα καὶ αὐτὸς
Θνητὸς ἐὼν, δολιχαῖς δ' ἐλπίσι παιζόμενος,
Αὐτὸς ἑκοντὶ γέγηθα πλανώμενος· οὐδὲ γενοίμην
Εἰς κρίσιν ἡμετέρην πικρὸς ἀριστοτέλης.
Τὴν γὰρ ἀνακρείοντος ἐνὶ πραπίδεσσι φυλάσσω
Παρφασίην, ἔτι δεῖ φροντίδα μὴ κατέχειν.

Τοῦ αὐτοῦ.

Πανδώρης ὁρόων γελόω πίθον, οὐδὲ γυναῖκα
Μέμφομαι, ἀλλ' αὐτῶν τὰ πτερὰ τῶν ἀγαθῶν.
Ὡς γὰρ ἐπ' οὐλύμποιο μετὰ χθονὸς ἤθεα πάσης
Πωτῶνται, πίπτειν καὶ κατὰ γῆν ὄφελον.
Ἡ δὲ γυνὺ μετὰ πῶμα κατωχρήσασα παρειὰς,
Ὤλεσεν ἀγλαΐην ὧν ἔφερεν χαρίτων.
Ἀμφοτέρων δ' ἤμαρτεν ὁ νεῦν βίος, ὅττι καὶ αὐτὴν
Γηράσκουσαν ἔχει, καὶ πίθος οὐδὲν ἔχει.

ΕΠΑΙΝΟΙ, κεφ. κϛ.

Αδηλον.

Μουσάων ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν,
Ἔγραφε παμαίνων (ὡς λόγος) ἡσίοδος.

Μῆνιν

Incerti.

Spem & Nemesin benivolus ad aram constituì,
Illam quidē, vt speres, hanc verò, vt nihil habeas.

MACEDONII Principis.

Si vitam inter mortales fortunæ ludit comes
Spes, cum cunctatione omnia præbens, (& ipse
Illudor, mortalis si sum. Mortalis a. cum sim, benè scio
Quod sim mortalis, longâ verò spe illusus,
Ipse sponte lætatus sum deceptus. Nec vnquam fiam
In hanc sententiā nostrā severus aliquis Aristoteles.
Nam Anacreontis in pectore conservo
Consilium, quod deceat curam non retinere.

Ejusdem.

Pandoræ videns rideo dolium, nec mulierem
Reprehendo, sed ipsorum alas bonorum.
Vt enim in cælū potē terræ habitationes vniversæ
Subvolant, decidere etiam ad terram debebant.
At mulier sublato operculo pallida admodū in genis
Perdidit venustatem gratiæ, quam ferebat.
Virisq; autem privata est nunc vita: jam ipsam &
Senescentem habet, & dolium nil habet.

LAVDES, Cap. XXVI.

Incerti.

Musarum Heliconidum incipiamus canere
Scripsit pastor (vt sermo est) Hesiodus.

Iram

Μῆνιν ἄειδε θεὰ, καὶ ἄνδρα μοι ἔννεπε μοῦσα,
Εἶπεν ὁμηρείῳ καλλιόπη στόματι.
Κἀμὲ δὲ δεῖ γράψαι τὶ προοίμιον. ἀλλὰ τὶ γράψω
Δεύτερον, ἐκδιδόναι βιβλίον ἀρχόμενος;
Μοῦσαι ὁ λυμπιάδες, κοῦραι διὸς, οὐκ ἂν ἐσώθην
Εἰ μή μοι καῖσαρ χαλκὸν ἔδωκε νέρων.

ΔΙΟΔΩΡΟΥ Σαρδιανοῦ τοῦ διοπείθους.

Αἰγιβότου σκύροιο λιπὼν πέδον, ἴλιον ἔπλω
Οἷος ἀχιλλείδης πρόσθε νεοπτόλεμος,
Τοῖος ἐν αἰνεάδῃσι νέρων ἀγὸς ἄστυ ῥέμοιο
Νεῖται, ἐπ' ὠκυρόην θυμβριν ἀμειψάμενος,
Κοῦρος, ἔτ' ἀρτιγένειον ἔχων χνόον. ἀλλ' ὁ μὲν, ἔγχει
Οὖεν· ὁ δ' ἀμφοτέροις, καὶ δορὶ καὶ σοφίῃ.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ἡδὺ παρηΐδων πρῶτον θέρος ἤματι τούτῳ
Κείρεο, καὶ γενύων ἠϊθέους ἕλικας,
Γάϊε. σὸν δὲ πατὴρ χερὶ δέξεται εὐκτὸν ἴουλον
Λεύκιος, αὐξομένου πουλὺν ἐς ἠέλιον.
Δωρεῦνται χρυσέοισιν, ἐγὼ δ' ἱλαροῖς ἐλέγοισιν.
Οὐ γὰρ δὴ πλούτου μοῦσα χερειοτέρη.

Ἀδηλον.

Ἐσθλὰ λέγειν αἰεὶ πάντας, καλόν· αἰσχρὰ δὲ, δεινόν
Κἂν ὦσιν τούτων ἄξιοι, ὧν λέγομεν.

ΑΝΤΙΠΑΤΡΟΥ.

Σοί με θρηϊκίης σκυληφόρε θεσσαλονίκη,
Μήτηρ ἡ πάσης πέμψε μακηδονίης.

Λείδω

Iram cane Dea, & virum' dic mihi Musa,
Dixit Homerico Calliope ore. (*scribam*
Et me sanè docet scribere aliquod proëmium. Sed quid
Secundum edere librum incipiens?
Musæ cælestes, filiæ Iouis: Non seruatus essem
Nisi mihi Cæsar as dedisset Nero.

DIODORI Sardiani Dropethis filij.

Capras pascentis Scyri relinquens terrã, Iliũ nauigauie
Qualis Achillides ante Neoptolemus;
Servavi Martij animum Anaximenis,
Sed etiam è ponto cum dissecaret navem mare,
Scutum in nostrâ natantem tabulâ.
Sum vero & in pelago, & in terrâ spes ei
Audacem ex duplici liberans morte.

THEO-

ΘΕΩΝΟΣ ἀλεξανδρέως.

Ἡ πάρος ἀντιπάλων γε ἐπίκρανος ἀσπίς ἀκόντων,
Ἡ φόνιον στυγνοῦ κῦμα φέρουσα μόθου,
Ἀγρίον οὐδ' ὅτε πόντος ἐπὶ κλόνον ἤλασε φωτὶ,
Καὶ πικρὴ ναυτέων ἔπλετ' ἀλιφθορίη,
Συζυγίης ἀμέλησα· καλὸ δέ σε φόρτον ἄγουσα,
Ναὶ φίλος εὐκαίων ἄχρις ἔβην λιμένων.

ΙΟΥΛΙΟΥ ΛΕΩΝΙΔΟΥ.

Εἰν ἑνὶ κινδύνους ἔφυγον δύο μυρτίλος ὅπλῳ,
Τὸν μὲν, ἀριστεύσας, τὸν δ' ἐπινηξόμενος,
Ἀργέστης ὅτ' ἔδυσε νεὼς τρόπιν· ἀσπίδα δ' ἔσχον
Σωθεὶς κεκριμένην ὕδατι καὶ πολέμῳ.

ΙΟΥΛΙΟΥ ΔΙΟΚΛΕΟΥΣ.

Οὐκ οἶδ' εἴτε σάκος λεξαιμί σε, τὴν ἐπὶ πολλοὺς
Ἀντιπάλους πιστὴν σύμμαχον ὡπλισάμην.
Εἴτε δὲ βαιὸν ἐμοὶ πόντου σκάφος, ἥ μ' ἀπὸ νηὸς
Ὀλλυμένης κόμισας νηκτὸν ἐπ' ἠϊόνας.
Ἄρεος ἐν πολέμοις ἔφυγον χόλον, ἐν δὲ θαλάσσῃ,
Νηρῆος· σὺ δ' ἄρ' ἦς ὅπλον ἐν ἀμφοτέροις.

ΑΝΤΙΦΑΝΟΥΣ.

Νηὸς ἀληστρέπτου πλαγκτὸν κύτος εἶδεν ἀπ' ἀκτῆς
Μηλοβότης, βλοσυροῖς κύμασι συρόμενον·
Χεῖρα δ' ἐπέρριψεν· τὸ δ' ἐπεσπάσατ' ἐς βυθὸν ἅλ-
Τὸν σώζονθ'· οὕτω πᾶσιν ἀπηχθάνετο. (μης
Ναυηγὸν δ' ὁ νομεὺς ἔσχεν μόρον. ὦ δι' ἐκείνην
Καὶ δρυμοὶ χῆροι πορθμίδα καὶ λιμένες.

ΦΙΛΙΠ-

THEONIS Alexandrij.

Qui prius hostiliũ tegumentum eram clypeus jaculorũ,
Qui mortiferum horribilis fluctum tuli belli,
Horridũ neq; cum pontus tumultum excitaret homini,
Et graue nautarum esset in mari periculum,
Societatem aspernatus. Sed pulchrum te onus ferens
Et amicus exoptata usq; perveni ad littora.

IVLII LEONIDÆ.

In vno pericula effugi duo Myrtilus clypeo,
Illud quidem prælio superans, hoc verò enatans,
Argestes cũ mersit navis carinã. Clypeũ vero habebam
Cum servaret, exploratum in mari & bello.

IVLII DIOCLIS.

Nescio an Clypeum dicam te, quo contra multos
Hostes fideli adiutore armatus fui.
An v. parvã mihi in ponte nauiculam, quæ me à navi
Fractâ portans nauigabilem ad littus.
Martis in bellis effugi iram. In mare autem
Nerei. Tu verò sanè fuisti telum in vtrisq;.

ANTIPHANIS

Navis à mari subversæ errabũdã cauitatẽ vidit à lit-
Pastor terribilibus fluctibus tractam. (tore
Manũ v. extẽdit. Hoc a.traxit ipsũ in profũdũ maris
Se servare cupientem. Sic omnes odio habuit.
Naufragam verò pastor habuit mortem. Hei ob ipsam
Et silvæ viduæ, nauiculam, & portus!

ΦΙΛΙΠΠΟΥ.

Νῆα μὲν ὤλεσε πόντος, ἐμοὶ δ' ἔπορεν πάλι δαίμων
Πλαζομένῳ φύσιος νῆα ποθεινοτέρην.
Πατρὸς ἰδὼν γὰρ ἐγὼ δέμας εἰς ἐμὲ καίριον ἐλθὸν,
Μουνερέτης ἐπέβην, φόρτος ὀφειλόμενος.
Ἤγαγε δ' εἰς λιμένας με καὶ ἔσπειρεν δὶς ὁ πρέσβυς,
Νήπιον ἐν γαίῃ, δεύτερον ἐν πελάγει.

ΑΝΤΙΠΑΤΡΟΥ μακεδόνος.

Αἰεὶ θηλυτέρῃσιν ὕδωρ κακὸν ἑλλήσποντος,
Ξεῖνε· κλεωνίκης πεύθεο δυῤῥχίδος.
Πλῶε γὰρ ἐς σηστὸν μετὰ νυμφίον· ἐν δὲ μελαίνῃ
Φορτίδι τὴν ἕλλης μοῖραν ἀπεπλάσατο.
Ἠρὼ δειλαίη, σὺ μὲν ἀνέρα, δηΐμαχος δὲ,
Νύμφην, ἐν παύροις ὠλέσατε σταδίοις.

ΑΙΜΙΛΙΑΝΟΥ νικαέως.

Αβάλε χειμερίου με κατέκλυσε κύματα πόντου
Δειλαίην, νεκύων φόρτον ἀμειψαμένην.
Αἰδέομαι ζωθεῖσα· τί μοι πλέον ὅρμον ἱκέσθαι,
Δευομένῃ φωτῶν πείσματα δησομένων;
Κωκυτοῦ με λέγοιτε βαρὺ σκάφος. ὤλεσα φῶτας,
Ὤλεσα· ναυηγοὶ δ' εἰσὶν ἔσω λιμένος.

ΦΙΛΙΠΠΟΥ.

Ἱκαρίην τὸ πάρος πλώων ἅλα, νηὸς ἀλισθὼν
Δᾶμις ὁ νικαρέτου, κάππεσεν ἐς πέλαγος.
Πολλὰ πατὴρ δ' ἠρᾶτο πρὸς ἀθανάτου, καὶ ἐς ὕδωρ
Φθέγγεθ', ὑπὲρ τέκνου κύματα λισσόμενος.

Ὤλετο

PHILIPPI.

Navẽ quidẽ perdidit Pontus. Mihi v. præbuit Deus
Erranti naturæ navim (patrem) desiderabiliorem.
Patris videns n. ego corpus ad me in tempore veniens
Solus remex conscendi, onus debitum.
Duxit vero ad litora me, & seminauit bis senex
Infantem in terra, iterum in pelago.

ANTIPATRI Macedonis.

Semper mulieribus aqua malum Hellespontus,
Hospes, Cleonicam interroga Dyrrachidem.
Navigabat enim Sestum ad sponsum. In vero nigrâ
Oneratiâ navi Helles fatum effinxit.
Hero infelix, tu quidem virum, Deimachus verò
Sponsam in paucis perdidistis stadijs.

ÆMILIANI Nicaensis.

Vtinam hiemalis me submersissent fluctus ponti
Infelicem mortuorum onus traijcientem.
Erubesco quod servata sim. Quid mihi prodest in portũ
Indigenti viris funes religantibus. (venire
Cocyti me dicite gravem navim. Perdidi homines,
Perdidi. Naufragi vero sunt in portu.

PHILIPPI.

Icarium prius navigans mare, è naui prolapsus
Damis Nicareti filius decidit in mare,
Multa v. pater deprecatus est ad immortales, & in æ-
Dixit pro filio fluctus supplex orans. (quam

Ωλετο δ' οἰκτίστως ἁλὶ βρυχθείς. κεῖνο δὲ πατρὸς
Εκλυεν ἀράων οὐδὲ πάλαι πέλαγος.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Καὶ πότε δινήεις ἄφοβος πόρος, εἰπὲ θάλασσα;
Εἰ δὲ ἐν ἀλκυόνων ἤμασι κλαυσόμεθα;
Αλκυόνων, αἷς πόντος ἀεὶ στηρίξατο κῦμα
Νηνέμον, ὡς κρῖναι χέρσον ἀπιστοτέρην.
Αλλὰ καὶ ἡνίκα γαῖα, καὶ ὠδίνεσσιν ἀπήμων
Αὐχεῖς, σὺν φόρτῳ δύσας ἀριστομένην.

ΒΑΣΣΟΥ.

Οὐλόμεναι νήεσσι καφηρίδες, αἵ ποτε νόστον
Ωλέσαθ' ἑλλήνων, καὶ στόλον ἰλιόθεν,
Πυρσὸς ὅτε ψεύστης χθονίης δνοφερώτερα νυκτὸς
Ηψε σέλα, τυφλὴ δ' ἔδραμε πᾶσα τρόπις
Χοιράδας ἐς πέτρας, δαναοῖς πάλιν ἴλιος ἄλλη
Επλετο, καὶ δεκέτους ἐχθροτέρη πολέμου.
Καὶ τὴν μὲν τότ' ἔπερσαν, ἀνίκητος δὲ καφηρεὺς
Ναύπλιε. σοὶ γὰρ πᾶν ἑλλὰς ἔκλαυσε δάκρυ.

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Εθραύσθης ἠλεῖα παρ' οἰνοπότῃσι λάγηνε,
Νηδύος ἐκ πάσης χευαμένη βρόμιον.
Τηλόθε γὰρ λίθος εἰς σε βαρύστονος, οἷα κεραυνὸς,
Οὐ διὸς ἐκ χειρῶν, ἀλλὰ δίωνος ἔβη.
Ην δὲ γέλως ἐπὶ σοὶ, καὶ σκώμματα πολλὰ, τυπείσης,
Καὶ πολὺς ἐξ ἑτάρων γιγνόμενος θόρυβος.

Οὐ

Perijt verò miserabiliter à mari devoratus. Illud v.
Audiuit preces ne ante quidem pelagus. (patris

APOLLONIDÆ.

Et quãdo vorticosus non timendus transitus, dic mare?
An & Alcyonum diebus plorabimus?
Halcyonum, quibus mare semper stare facit fluctus
Vento carentẽ vt iudices ipsã terrã et periculosiorẽ.
At verò etiam cum te terræ & hominibus innoxium
Iactas, cum mercibus obruisti Aristomenem.

BASSI.

Pernicioſæ navibus Capharides, quæ olim reditum
Perdidistis Græcorum, & classem ab Ilio.
Facula cum mendax infaustâ tenebrosior nocte
Accendit iubar, cæca verò cucurrit omnis carina
Sub mare latentia in saxa, Danais rursũ clades alia
Fuit, & decennali hostilior bello.
Et hanc quidẽ tũ perdiderunt. Invictus v. Caphareus
Nauplie. Tibi n. omnẽ Græcia plorauit lacrumã.

ARGENTARII.

Fracta es Elea apud vinipoteres lagena,
Gremio ex omni effundens vinum.
Eminus enim lapis in te graviter sonans, vt fulmen
Non Iovis è manibus, sed Dionis decidit.
Erat a. risus super te, & multa scõmata, cũ percutereris
Et multus inter socios factus tumultus.

Οὐ θρηνῶ σε λάγυνε, τὸν εὐαστῆρα τεκοῦσαν
Βάκχον, ἐπεὶ σεμέλη καὶ σὺ πεπόνθατ' ἴσα.

ΦΙΛΙΠΠΟΥ.

Κλασθείσης ποτὲ νηὸς ἐν ὕδασι, δῆριν ἔθεντο
Δισσοὶ ὑπὲρ μουνίης μαρνάμενοι σανίδος.
Τύψε μὲν ἀνταγόρης πεισίστρατον· οὐ νεμεσητόν·
(Ην γὰρ ὑπὲρ ψυχῆς) ἀλλ' ἐμέλησε δίκη.
Νήχεθ' ὁ μὲν, τὸ δ' εἷλε κύων ἅλιος. παναλάστωρ
Κήρων οὐδ' ὑγρῷ παύεται ἐν πελάγει.

ΕΙΣ ΝΑΥΤΙΛΙΑΝ,

κεφ. νς.

ΑΝΤΙΠΑΤΡΟΥ.

Γειαράτης ἄρχιππος ὅτ' ἐκ νούσοιο βαρείης
Αρτι λιποψυχέων ἔρρεεν εἰς ἀΐδην,
Εἶπε τάδ' ἡήεσσιν, ὦ φίλα τέκνα μάκελλαν
Καὶ τὸν ἀροτρητὴν στέρξατέ μοι βιότον.
Μὴ σφαλερῆς αἰνεῖτε πόνον στονόεντα θαλάσσης,
Καὶ βαρὺν ἀτηρῆς ναυτιλίης κάματον.
Οσσον μητρυιῆς γλυκερωτέρη ἔπλετο μήτηρ,
Τόσσον ἁλὸς πολιῆς γαῖα ποθεινοτέρη.

ΑΝΤΙΦΙΛΟΥ βυζαντίου.

Τολμα, νεῶν ἀρχηγὲ, σὺ γὰρ δρόμον ηὔραο πόντου,
Καὶ ψυχὰς ἀνδρῶν κέρδεσιν ἠρέθισας,
Οἷον ἐτεκτήνω δόλιον ξύλον, οἷον ἐνῆκας
Ανθρώποις θανάτῳ κέρδος ἐλεγχόμενον.

Ην

Nõ deploro te lagena celebratorẽ Bacchanaliũ generãt ẽ
Bacchum, cum Semele & tu paria pertuleritis.

PHILIPPI.

Fracta quondam navi in aquis contenderunt
Duo super vna pugnantes tabulâ. (prehensione
Verbera vit quidẽ Antagoras Pisistratũ. Sanè sine re-
(Erat n. de vitâ pugna) sed curâ habuit justitia.
Natabat hic quidẽ, illũ v. rapuit canis marinus, Vin-
Parcarum ne humido quidem cessat in pelago. (dex

IN NAVIGATIONEM, Cap. LVI.

ANTIPATRI

Arator Archippus cum ex morbo gravi
Iam animam relinquens transit ad inferos,
Dixit hæc filijs, ô cari liberi, ligonem
Et rusticam amate mihi vitam.
Non fallacis laudate laborem arumnabilem maris.
Et gravem noxiæ navigationis arumnam.
Quanto novercâ dulcior est mater,
Tanto mari cano terra est desiderabilior.

ANTIPHILI Byzantij.

Audacia, juvenum dux, tu enim cursũ invenisti pontì
Et animas virorum lucro inescasti.
Quale fabricasti dolosum lignum, quale immisisti,
Hominibus morte lucrum quod coarguitur!

Ην ὄντως μετρόπων χρύσεον γένος, εἴγ' ἀπὸ χέρσου
Τηλόθεν ὡς ἀΐδης πόντος ἀπεβλέπετο.

Τοῦ αὐτοῦ.

Γλαῦκος ὁ νεσσαίοιο διαπλώουσιν ὁδηγὸς
Πορθμοῦ, καὶ θασίων ἔντροφος αἰγιαλῶν,
Πόντου ἀροτρευτὴρ ἐπιδέξιος οὔποτ' ἔκνωσε
Πλαζομένῃ στρωφῶν πιδάλιον παλάμῃ,
Μηριετὴς, ἁλίοιο βίου ῥάκος, οὐδ' ὅτ' ἔμελλε
Θνήσκειν, ἐκτὸς ἔβη γηραλέης σανίδος.
Τοὶ δὲ κέλυφος ἔκλεισαν ἐπ' ἀνέρι, τόφρα γαραιὸς
Πλώσῃ ἐπ' οἰκείης εἰς ἀΐδην ἀκάτου.

ΛΕΩΝΙΔΟΥ.

Ο πλόος, ὡραῖος· ἐς γὰρ λαλαγεῦσα χελιδὼν
Ηδη, μέμβλωκεν, χὠ χαρίεις ζέφυρος.
Λειμῶνες δ' ἀνθεῦσι· σεσίγηκεν δὲ θάλασσα
Κύμασι καὶ τρηχεῖ πνεύματι βρασσομένη.
Αγκύρας ἀνέλοιο, καὶ ἑλκύσαιο γύαια,
Ναυτίλε, καὶ πλώοις, πᾶσαν ἐφεὶς ὀθόνην.
Ταῦθ' ὁ πρίηπος ἐγὼν ἐπιτέλλομαι, ὁ λιμενίτης
Ανθρωφ', ὡς πλώεις πᾶσαν ἐπ' ἐμπορίην.

ΑΝΤΙΠΑΤΡΟΥ σιδωνίου.

Ακμαῖος ῥοθίῃ νηῒ δρόμος· οὐδὲ θάλασσα
Πορφύρει τρομερῇ φρικὶ χαρασσομένη.
Ηδη δὲ πλάσσει μὲν ὑπώροφα γυρὰ χελιδὼν
Οἰκία, λειμώνων δ' ἁβρὰ γελᾷ πέταλα.

Τοὔνεκα

Esset revera mortalium aureum genus, si à littore
Procul tanquam infernus pontus aspiceretur.

Ejusdem.

Glaucus Nessæi traijcientibus viæ dux
In freto, & Thasijs nutritus in littoribus
Ponti arator, egregius, nunquam dormierat
Vagabundâ convertens clavum manu.
Valde senex, marinæ vitæ lacera vestis, neq; cum vellet
Mori egrediebatur vetustam naviculam.
Hunc tabulato navis incluserunt virum, vt senex
Navigaret propriâ ad inferos cymbâ.

LEONIDÆ.

Navigatio tempestiva. Etenim vocem edens hirundo
Iam adest, & gratiosus Zephyrus.
Prata verò florent: Obmutuit autem mare
Fluctibus, & horribili vento effervescens.
Anchoras solvas, & trahas navium retinacula,
Nauta, & navigabis omni extenso velo.
Hæc Priapus ego impero, portibus præfectus,
O homo, vt naviges ad omnem mercaturam.

ANTIPATRI Sidonij.

Tempestivus impetuosæ navi cursus, neq; mare
Turbulentum est formidabili æstu pictum.
Et iam sublimes sibi format hirundo rotundos
Nidos, pratorum verò mollè rident folia.

Τοὔνεκα μηρήσασθε λιάβροχα πείσματα ναῦται,
Ελκετε δ' ἀγκύρας φωλάδας ἐκ λιμένων.
Λαίφεα δ' εὐφέα προτονίζετε. ταῦθ' ὁ πρίηπος
Υμμιν ἐνορμίταις παῖς ἐνέπω βρομίου.

ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Λῦσον ἀπ' εὐόρμων δολιχὰ πρυμνήσια νηῶν,
Εὔτροχα δ' ἐκπετάσας λαίφεα, ποντοπόρει,
Εμπορε. χειμῶνες γὰρ ἀπέδραμον, ἄρτι δὲ κῦμα
Γλαυκὸν θηλυύει πρηΰγελος ζέφυρος.
Ηδη καὶ φιλότεκνος ὑπὸ τραυλοῖσι χελιδὼν
Χείλεσι καρφίτην πηλοδομεῖ θάλαμον.
Ανθεα δ' ἀντέλλουσι κατὰ χθόνα. τῷ, σὺ πριήπῳ
Πειθόμενος, πάσης ἅπτεο ναυτιλίης.

ΣΑΤΥΡΟΥ ΘΥΙΛΛΟΥ.

Ηδη πηλοδομεῦσι χελιδόνες, ἤδη ἀν' οἶδμα
Κολποῦται μαλακὰς εἰς ὀθόνας ζέφυρος,
Ηδη καὶ λειμῶνες ὑπὲρ πετάλων ἐχέαντο
Ανθεα, καὶ τρηχὺς σῖγα μέμυκε πόρος.
Σχοίνους μηρύεσθε ἐφ' ὁλκάδα, φορτίζεσθε
Αγκύρας, καὶ πᾶν λαῖφος ἔφεσθε κάλοις.
Ταῦθ' ὑμῖν πλώουσιν ἐπ' ἐμπορίην ὁ πρίηπος
Ο λιμενορμίτης ναυτιλίῃ γράφομαι.

ΣΑΤΥΡΟΥ.

Ηδη μὲν ζεφύροιο πλοητόκου ὑγρὸν ἅημα
Ηρέμα λειμῶνας πνείει ἐπ' ἀνθοκόμους,

Κεκρε-

Ob id coordinate modefactos funes nauticos, nautæ,
Trahite vero anchoras absconditas è portibus.
Vela verò bene texta extendite. Hæc Priapus
Vobis in portu consistentibus puer dico Bacchi.

MARCI ARGENTARII.

Solve à bonũ portum habentibus longos funes navibus,
Bene currentia vero extendens vela in mari curre,
Mercator. Hiemes enim transierunt, jam vero fluctũ
Cæruleum sedat placidum ridens Zephyrus.
Iam & sobolis amatrix blesis hirundo
Labris è festucis sibi constituit thalamum.
Flores vero oriuntur in terra, hoc tu, Priapo
Credens, omnem tange navigationem.

SATYRI THYILLI.

Iam nidulantur hirundines, jam in vnda
Velificat mollia in vela nautica Zephyrus,
Iam & prata super foliorum effunduntur
Flores, & difficilis tacitè murmurat navigatio.
Funes contexite in onerariam navem, adferte
Anchoras, & omne velum imponite lignis.
Hæc vobis navigantibus ad mercaturam Priapus
Portuum præfectus ad navigationem præcipio.

SATYRI.

Iã quidẽ Zephyri navigationẽ parientis molles flatus
Placidè prata inspirat floribus coronata,

Hirun-

Κεκροπίδες δ' ἠχεῦσι, γαληναίη δὲ θάλασσα
Μειδιάει, κρυερῶν ἄτρομος ἐξ ἀνέμων.
Ἀλλ' ἴτε, θαρσαλέοι πρυμνήσια λύετε ναῦται,
Πίτνατε δὲ πτερύγων λεπταλέας στολίδας.
Ὦ ἴτ' ἐπ' ἐμπορίην πίσυνοι χαρίεντι πριήπῳ,
Ὦ ἴτε δὴ λιμένων δαίμονι πειθόμενοι.

ΑΡΧΙΟΥ.

Τοῦ δέ με κυματοπλῆγος ἐπὶ σκοπέλοιο πρίηπον
Ναῦται θρηϊκίου θέντο πόρου φύλακα.
Πολλάκις οἷς ἤϊξα ταχὺς καλέουσιν ἀρωγὸς
Ξεῖνε, κατὰ πρύμνης ἡδὺ ἄγων ζέφυρον.
Τοὔνεκεν οὔτ' ἄκνισσον, (ὅπερ θέμις) οὔτ' ὑπιδεύῃ
Εἴαρος ἀθρήσεις βωμὸν ἐμὸν στεφάνων,
Ἀλλ' αἰεὶ θυόεντα καὶ ἔμπυρον. ἐν δ' ἑκατόμβῃ
Τόσσον, ὅσον τιμὴ δαίμοσιν ἀνδάνεται.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Εὔδια μὲν πόντος πορφύρεται. σὺ γὰρ ἀήτης
Κύματα λευκαίνει φρικὶ χαρασσόμενα.
Οὐκ ἔτι δὴ σπιλάδεσσι περικλασθεῖσα θάλασσα,
Εμπαλιν ἀντωπὸς πρὸς βάθος εἰσάγεται.
Οἱ ζέφυροι πνείουσιν· ἐπιτρύζει δὲ χελιδὼν,
Κάρφεσι κολλητὸν πηξαμένη θάλαμον.
Θάρσει ναυτιλίης ἐμπείραμε, κἂν παρὰ ζύρτιν,
Κἂν παρὰ σικελικὴν ποντοπορῆς κροκάλην.
Μοῦνον ἐνορμίταο παραὶ βωμοῖσι πριήπου
Ἢ σκάρον, ἢ βῶκας φλέξον ἐρευθομένους.

ΠΑΥΛΟΥ

Hirundines vero resonant tranquillum autem mare
Ridet, horribilibus imperturbatum à ventis
Verum ite confidentes, & funes soluite nautæ,
Extendite vero velocium navium tenues rugas.
O ite in mercaturam obedientes gratioso Priapo,
O ite sanè portuum Dæmoni morem gerentes.

ARCHII.

In hoc ab undis pulsato scopulo Priapum
Nautæ Thracij posuerunt transitus custodem.
Sapius ad quos festinavi celer me invocantes adjutor,
O hospes, juxta prorã suavẽ adducens Zephyrum.
Ob id non sine sacrificio, vt fas, neq; indigentem
Vernis intuebere aram meam sertis.
Sed semper odoriferam & ignitam. In sacrificio autẽ
Tantum, quantum honor Dijs placet.

AGATHIAE Scholastici.

Tranquillè quidem mare fluctuat. Non enim ventus
Fluctus dealbat fremitu agitatos.
Non vero amplius saxis fractum mare
Vicissim resplendens ad profundum ducitur.
Zephyri spirant, obstrepit hirundo,
E festucis conglutinatum compingens thalamum.
Confide navigationis perite, quamvis juxta Syrten,
Quamvis apud Siculum naviges litus.
Solum portuum præfecti in aris Priapi,
Aut scarum, aut bocas pisces vre rubentes.

PAV-

ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Ηδη μὲν ζεφύροισι μεμυκότα κόλπον ἀνοίγει
Εἴαρος εὐλείμων θελξινόοιο χάρις.
Αρτι δὲ δουρατέοισιν ἐπωλίσθησε κυλίνδροις
Ολκὰς, ἐπ' ἠϊόνων ἐς βυθὸν ἑλκομένη.
Λαίφεα κυρτώσαντες ἀταρβέες ἔξιτε ναῦται,
Πρηὺν ἀμοιβαίης φόρτον ἐς ἐμπορίης.
Πιστὸς νηυσὶ πρίηπος, ἐπεὶ θέτιν εὔχομαι εἶναι
Ημετέρου πατρὸς ξεινοδόκον βρομίου.

ΘΕΛΙΤΗΤΟΥ σχολαστικοῦ.

Ηδη καλλιπέτηλον ἐπ' εὐκάρποισι λοχείαις
Λήϊον ἐκ ῥοδέων ἀνθοφορεῖ καλύκων.
Ηδη ἐπ' ἀκρεμόνεσσιν ἰσοζυγέων κυπαρίσσων
Μουσομανὴς τέττιξ θελγει ἀμαλλοδέτην.
Καὶ φιλόπαις ὑπὸ γεῖσσα δόμους τεύξασα χελιδὼν,
Εκγονα πηλοχύτοις ξεινοδοκεῖ θαλάμοις.
Υπνώει δὲ θάλασσα φιλοζεφύροιο γαλήνης,
Νηοφόροις νώτοις εὔλια πεπταμένης.
Οὐκ ἐπὶ πρυμναίοισι καταιγίζουσα κορύμβοις,
Οὐκ ἐπὶ ῥηγμίνων ἀφρὸν ἐρευγομένη,
Ναυτίλε, ποντομέδοντι καὶ ὁρμοδοτῆρι πρίηπος
Τευθίδος ἢ τρίγλης ἀν[illegible]μόεσσαν ἴτην,
Η σκάφον αὐδήεντα παρὰ βωμοῖσι πυρώσας,
Ἄτρομος ἰονίου τέρμα θαλασσοπόρει.

ΕΙΣ

Iam quidem Zephyris clausum sinum aperit
Veris beneflorens animum demulcentis gratia.
Iam vero ligneis devoluta est cylindris
Navis è litoribus in profundum protracta.
Vela incurvantes intrepidi exite nautæ
In mercem vtilem mutuæ negotiationis.
Fidelis navibus Priapus, postquam Thetin opto esse
Nostri patris hospitem Bromij.

THEÆTETI Scholastici.

Iam pulcrifolia benè facundis partubus
Seges ex roseis flores producit è calicibus,
Iam in ramis æqualium cupressorum (tes,
Musico furore acta cicada delectat manipulos ligã-
Et amans liberorum sub suggrundijs nidum fabricans
Pullos cæno fusis hospitio excipit thalamis. (hirũdo
Dormit vero mare, amante Zephyrum tranquillitate
Naves ferentibus humeris tranquillè expansâ.
Non in prorea impetuosè flans cacumina,
Non in litore spumam eructans.
Nauta ponto imperanti & portuum datori Priapo
Sapia aut mulli pisces floridam circumferentiam,
Aut scarum vocalem super aram incendens
Intrepidus Ionij fines in mari pete.

IN

ΕΙΣ ΝΗΑΣ, κεφ. νζ.

ΖΗΛΩΤΟΥ.

Εκλάσθην ἐπὶ γῆς ἀνέμῳ πίτυς· ἐς τί με πόντῳ
Στέλλετε, ναυηγὸν κλῶνα πρὸ ναυτιλίης;

Τοῦ αὐτοῦ.

Ες τί πίτυν πελάγει πιστεύετε γομφωτῆρες,
Ης πολὺς ἐξ ὀρέων ῥίζαν ἔλυσε νότος;
Αἴσιον οὐκ ἔσομαι πόντου σκάφος, ἐχθρὸν ἀήταις
Δένδρεον· ἐν χέρσῳ τὰς ἁλὸς οἶδα τύχας.

Αδέσποτον.

Αρτιπαγῆ ῥοθίῃσιν ἐπὶ κροκάλῃσί με νῆα,
Καὶ μήπω χαροποῦ κύματος ἁψαμένην,
Οὐ δ' ἀνέμεινε θάλασσα· τὸ δ' ἄγριον ἐπλήμμυρε
Χεῦμα, καὶ ἐκ σταθερῶν ἥρπασεν ἠϊόνων,
Ολκάδα, τῇ δείλαιος ἀεὶ κλόνος, ἦ γε τὰ πόντου
Χεύματα κὴν χέρσῳ λοίγια, κὴν πελάγει.

ΚΥΛΛΗΝΙΟΥ ΠΕΤΙΑΝΟΥ.

Οὔπω ναῦς, καὶ ὄλωλα· τί δ' ἂν πλέον, εἰ βυθὸν ἔγνων
Ετλην; φεῦ πάσαις ὁλκάσι μοῖρα κλύδων.

Τοῦ αὐτοῦ.

Αρτι με πηγνυμένην ἀκάτου τρόπιν ἔσπασε γείτων
Πόντος, κὴν χέρσῳ εἰς ἐμὲ μαινόμενος.

Αδέσποτον.

Εκλάσθην ἀνέμοισι πίτυς· τί με τεύχετε νῆα,
Ναυηγῶν ἀνέμων χερσόθι γευσαμένην;

Αδέσπο-

IN NAVES, Cap. LVII.

ZELOTI.

Fracta sum in terrâ vento pinus. Cur me ponto
Mittitis fractum ramum ante navigationem?

Ejusdem.

Cur pinum pelago committitis navium fabricatores,
Cujus multus è montibus radicẽ dissolvit Notus,
Auspicatum non ero ponto navigium, hostile ventis
Lignum, in terrâ maris didici fortunas.

Incerti.

Nuper compactam impetuosis in litoribus me navem
Et nondum horribilem fluctum tangentem
Ne quidem exspectavit mare. Sed horribilis inundauit
Fluctus, & ex stabilibus eripuit litoribus (ti
Navẽ, cui calamitosa semper maris turbatio, & cui põ-
Fluctus & in littore pestifer, & in pelago.

CYLLENII PETIANI.

Nondũ navis, & iperij, quid a. plus, si profũdũ intrasse
Pertulisse? Hei cũctis navibus fatalis tẽpestas maris.

Ejusdem.

Iam me compactam navis carinam abstulit vicinus
Pontus, etiam in littore in me furiosus.

Incerti.

Fracta sum ventis pinus, quid me fabricatis navem
Naves frangentes ventos in litore experta sum.

Αδέσποτον.

Οὔρεσιν ἐν δολιχοῖς βλωθρὴν πίτυν ὑέτιός με
Πρόῤῥιζον γαίης ἐξεκύλισσε νότος.
Ενθεν ναῦς γενόμην, ἀνέμοις πάλιν ὄφρα μάχωμαι,
Ανθρωποι, τόλμης οὔποτε φειδόμενοι.

Αδηλον.

Τίπτέ με τὴν ἀνέμοισιν ἁλώσιμον ἠλεὲ τέκτων,
Τήνδε πίτυν τεύχεις νῆα θαλασσοπόρον;
Οὐδ' οἰωνὸν ἔδεισας, ὅτι βορέης μ' ἐδίωξεν
Εν χθονί; πῶς ἀνέμους φεύξομαι ἐκ πελάγει;

ΑΝΤΙΦΙΛΟΥ βυζαντίου.

Μυρία μετρήσασαν ἀμετρήτοιο θαλάσσης
Κύματα, καὶ χέρσῳ βαιὸν ἐρεισαμένην,
Ωλεσεν οὐχὶ θάλασσα, νεῶν φόβος, ἀλλ' ἐπὶ γαίης
Ηφαιστος. τίς ἐρεῖ πόντον ἀπιστότερον;
Ενθεν ἔφυν ἀπόλωλα. παρ' ἠϊόνεσσι δὲ κεῖμαι,
Χέρσῳ τὴν πελάγευς ἐλπίδα μεμφομένη.

ΣΕΚΟΥΝΔΟΥ.

Ολκὰς ἀμετρήτου πελάγευς ἀνύσασα κέλευθον,
Καὶ τοσάκις χαροποῖς κύμασι νηξαμένη,
Ην ὁ μέλας οὔτ' εὖρος ἐπόντισεν, οὔτ' ἐπὶ χέρσον
Ηλασε χειμερίων ἄγριον οἶδμα νότων,
Εν πυρὶ νῦν ναυηγὸς ἐγὼ χθονὶ μέμφομ' ἀπίστῳ,
Νῦν ἁλὸς ἡμετέρης ὕδατα διζομένη.

ΛΕΩ-

Incerti.

Montibus in longis virentem pinum pluvioſus mē
Radicitus è terrâ evertit notus.
Vnde navis fiebam ventis rurſus vt pugnem.
Homines, audaciâ nondum abſtinentes!

Incertum cujus.

Quid me ventis captivam ſtolide faber
Hanc pinum fabricas navim pontigradam?
Neq; augurium extimuiſti, quod Boreas me ſubvertit
In terrâ, quomodo ventos effugiam in pelago?

ANTIPHILI Byzantij.

Mille metientem immenſurabilis maris
Fluctus, & terræ paullulum innixam,
Perdidit nō mare, navtiū formido, ſed in terrâ (lius?
Neptunus. Quis dicit mare (impoſterū terrâ) infide-
Vnde nata ſum, inde perij. In littoribus vero jaceo,
In terrâ pelagi ſpem reprehendens.

SECVNDI.

Navis immenſi pelagi abſolvens curſum,
Et toties gravibus fluctibus innatans.
Quam niger neq; Eurus ponto immerſit, neq; in terram
Afflixit hiemalis horribilis fluctus Noti.
In igni iā naufragiū paſſa ego terrā reprehēdo infidelē
Iam maris noſtri aquas inquirens.

ΛΕΩΝΙΔΟΥ Ταραντίνου.

Ολκάδα πῦρ μ' ἀνέφλεξε, τόσην ἅλα μετρήσασαν
Εν χθονὶ, τῇ πεύκας εἰς ἐμὲ κειραμένῃ.
Ην πέλαγος διέσωσεν ἐπ' ἠόνας· ἀλλὰ θαλάσσης
Γὴν ἐμὲ γειναμένην εὗρον ἀπιστοτέρην.

ΙΟΥΛΙΑΝΟΥ αἰγυπτίου.

Ολκὰς ὕδωρ προφυγοῦσα πολυφλοίσβοιο θαλάσ-
Εν χθονὸς ἀγκοίναις ὤλετο μητερίαις. (σης,
Ισταμένην γὰρ πυρσὸς ἐπέφλεγε· καιομένη δὲ
Δυσμενέων ὑδάτων συμμαχίην ἐκάλει.

ΑΝΤΙΠΑΤΡΟΥ θεσσαλοῦ.

Τὴν μικρὴν με λέγουσι, καὶ οὐκ ἴσα πόντο πρεύσαις
Ναυσὶ διϊθύνειν ἄτρομον εὐπλοΐην. (θαλάσσῃ
Οὐκ ἀπόφημι δ' ἐγώ βραχὺ μὲν σκάφος, ἀλλὰ
Πᾶν ἴσον. οὐ μέτρων ἡ κρίσις, ἀλλὰ τύχης.
Εστω πηδαλίοις ἑτέρῃ πλέον. ἄλλο γὰρ ἄλλῃ
Θάρσος· ἐγὼ δ' εἴην δαίμοσι σωζομένη.

ΑΝΤΙΦΙΛΟΥ.

Υλοτόμοι παύσασθε νεῶν χάριν· οὐκ ἔτι πεύκη
Κύματος, ἀλλ' ἤδη ῥινὸς ἐπιτροχάει.
Γόμφος δ' οὐκ ἔτι χαλκὸς ἐν ὁλκάσιν, οὐδὲ σίδη-
Αλλὰ λίνῳ τοίχων ἁρμονίη δέδεται. (ρος,
Τὰς δ' αὐτὰς ποτὲ πόντος ἔχει νέας, ἄλλοτε γαῖα,
Πηκτὸν ἁμαξίτην φόρτον ἀειρομένας.
Αργὼ μὲν προτέροισιν ἀοίδιμος· ἀλλὰ σαβίνῳ
Καινοτέρην πῆξαι παλλὰς ἔνευσε τρόπιν.

ΜΑΙ-

Leonidæ Tarentini.

Navem ignis me combuſsit, tantũ mare quæ mẽſa ſum
In terrâ: quæ piceas in me incîdit.
Quam pelagus ſervavit in litoribus. Sed ipſo mari
Terram me pruducentem inveni infideliorem.

Iuliani de principibus Ægypti.

Navis aquam effugiens turbulenti maris
In terræ vlnis perijt maternis.
Stantem enim ignis combuſſit. Combuſta verò
Inimicarum aquarum auxilium invocavit.

Antipatri Theſſali.

Parvã me dicunt, & nõ æqualiter in põto navigãtibus
Nauibus ad dirigendam intrepidam navigationẽ.
Nõ nego v. ego q. ſim brevis navis. at mari (fortunâ.
Omnia paria ſunt, non de menſurâ iudicãdũ, ſed de
Sit gubernaculo flecti alij facilius. Alia enim alij naui
Audacia. Ego verò ſim à Dijs ſervata.

Antiphili.

Lignatores quieſcite naviũ gratiâ, non amplius pinus
In mari, ſed iam corium currit.
Clavus autem non amplius æs in navibus, aut ferrũ,
Sed lino laterum harmonia alligatur.
Has ipſas quondam pontus habet naves. Alias terra
Concretum curule onus ferentes.
Argo quidem veteribus Veneranda fuit. Sabino
Magis novam fabricare Pallas oſtendit carinam.

ΜΑΙΚΙΟΥ.

Ναῦν ἱεροκλείδης ἔσχεν σύγγηρον, ὁμόπλουν,
Τὴν αὐτὴν ζωῆς καὶ θανάτου ζυνόδον,
Πιστὴν ἰχθυβολεῦντι ζυνέμπορον. οὔτις ἐκείνης
Πώποτ' ἐπέπλωσεν κῦμα δικαιοτέρη.
Γήραος ἄχρις ἔβοσκε πονεύμενον, εἶτα θανόντα
Εκτέρισεν· ζυνέπλω δ' ἄχρι καὶ ἐς ἀΐδην.

ΑΝΤΙΠΑΤΡΟΥ.

Πῦῤῥος ὁ μουνερέτης, ὀλίγῃ νηῒ λεπτὰ ματεύων
Φυκία, καὶ τριχίνης μαινίδας ἐκ καθέτου,
Ηϊόνων ἀποτῆλε τυπεὶς, κατέδουπε κεραυνῷ.
Νηῦς δὲ πρὸς αἰγιαλοὺς ἔδραμεν αὐτομάτη,
Αγγελίην θείῳ καὶ λιγνύϊ μηνύουσα,
Καὶ φράσεν, ἀργώην δ' οὐκ ἐπόθησε τρόπιν.

Αδηλον.

Η ναῦς ἀπ' ἔργων κύπριδος γομφουμένη,
Πρὸς τὸν γενάρχην πόντον ἤλυθον θεοῦ.
Ανὴρ γὰρ ὥρης μ' ἔμπορος τεκτήνατο,
Καλέσας ἑταίρην. εἰμὶ γὰρ πᾶσιν φίλη.
Εμβαινε θαῤῥῶν· μισθὸν οὐκ αἰτῶ βαρύν.
Ελθόντα δέχομαι· πάντα βαστάζω ξένον.
Ως ποτ' ἐπὶ γαίης, κὴν βυθῷ μ' ἐρέσσετε.

ΕΙΣ ΝΗΣΟΥΣ, κεφ. νη.

ΑΠΟΛΛΩΝΙΔΟΥ, οἱ δὲ, ΑΝΤΙΠΑΤΡΟΥ.

Εἴθέ με παντοίοισιν ἔτι πλάζεσθαι ἀήταις,
Η λητοῖ στῆναι μαῖαν ἀλωομένῃ.

Οὐκ

Nauē Hieroclides habuit vnà consenescentē, & nauigantem
Eandem vitæ & mortis comitem,
Fiddem piscanti sociam. Neq; quis illâ
Vnquam navigavit fluctus justior,
Ad flectutē usq; nutrivit laborantē. Deinde mortuū
Humavit. Cum eo navigauit etiā usq; ad inferos.

ANTIPATRI

Pyrrhis vnus remex parvâ navi tenues inquirens
Phucas, & ex setâ mænas hamo.
A litore procul compulsus cecidit fulmine,
Navis verò ad littus sponte cucurrit.
Nuncium sulphure & flamma indicans,
Et dixit. Argiuam vero non desiderauit carinam.

Incerti.

Navis à quæstu meritorio constructa
Ad parentem pontum venit Deæ.
Vir enim pulcritudinis, me, mercator fabricavit
Vocans meretricem. Sum enim omnibus amica.
Ingredere confidens. mercedem non peto gravem.
Venientem excipio, omnem porto hospitem.
Vt quā olim in terrâ, etiam in profundo me exagitetis.

IN INSVLAS, Cap. LVIII.

APOLLONIDÆ, vt alij ANTIPATRI.

Vtinam me omnibus adhuc agitaretis ventis
Ne Latonæ sisteritis me obstetricem erranti.

Οὐκ ἂν χητοσύνην τόσον ἔστενον. οἳ ἐμὲ δειλὴν,
Ὀσσαις ἑλλήνων νηυσὶ παραπλέομαι,
Δῆλος ἐρημαίη, τὸ πάλαι σέβας, ὀψέ, πη ἥρη
Λητοῦς, ἀλλ' οἰκτρὴν τήνδ' ἐπέθηκε δίκην.

ΑΛΦΕΙΟΥ μιτυληναίου.

Λητοῦς ὠδίνων ἱερὴ τροφὲ, τὴν ἀσάλευτον
Αἰγαίῳ κρονίδης ὡρμίσατ' ἐν πελάγει,
Οὐ νύ σε δειλαίην μὰ θεοὺς δέσποινα βοήσω
Δαίμονας, οὐδὲ λόγοις ἕψομαι ἀντιπάτρου.
Ολβίζω δ' ὅτι φοῖβον ἐδέξαο, καὶ μετ' ὄλυμπον
Αρτεμις οὐκ ἄλλην ἤ σε λέγει πατρίδα.

ΑΝΤΙΠΑΤΡΟΥ.

Κλεινὴν οὐκ ἀπόφημι. σὲ γὰρ προπάροιθεν ἔθηκαν
Κλῄζεσθαι πτηνοὶ τῆνε βορηϊάδα.
Αλλὰ καὶ ὀρτυγίην εἶχε κλέος, οὔνομα δ' αὐτῆς
Ηρχετο ῥιπαίων ἄχρις ὑπερβορέων.
Νῦν δὲ σὺ μὲν ζώεις, ἡ δ' οὐκ ἔτι. τίς κεν ἐώλπει
Οψεσθαι τήνου δῆλον ἐρημοτέρην;

ΑΝΤΙΦΙΛΟΥ.

Η τερεβινθώδης ὀλιγάμπελος, οἷά τε βαιὴ
Νησὶς, ἀλλ' ὁμαλὴ πᾶσα καὶ ἀστύφελος.
Αἱ δ' ἀγχοῦ, μεγάλαι τε καὶ εὐρέες, ἀλλ' ἐπὶ πουλὺ
Τρηχεῖαι· μεγέθει τοῦτο περισσότεραι.
Καρποῖς οὐ σταδίοισιν ἐρίζομεν. οὐδὲ γὰρ αὖλαξ
Αἰγύπτου, λιβύης ψάμμου ἐπιστρέφεται.

Τοῦ

Non vastationem adeo lamentarer. Hei me miseram
Quantis Græcorum navibus circumnavigor.
Delus deserta, quæ quondam fulgor. Sero quidem Iuno
Latonæ, sed horribilem hanc imposuit panam.

ALPHÆI Mitylinæi.

Latonæ partuum sancta nutrix, quam inagitabilem
Iupiter Ægæo stabilivit in pelago.
Non sane miseram te, per Deos, regina clamabo
Dæmonas, aut sermones sequar Antipatri,
Felicẽ v. prædico, quod Phœbũ susceperis, & post olympũ
Diana nullam aliam, quàm te vocat patriã.

ANTIPATRI.

Claram non nego. Te enim iam ante indulserunt
Gloriam consequi, ô Tene, volucres Boreæ filij.
Sed etiam Ortygien habuit decus. Nomen verò eius
Venit Riphæos usq; ad Hyperboreos.
Nunc tu quidẽ vivis, illa non adhuc. Quis a sperasset
Videre Teno Delum desertiorem?

ANTIPHILI.

Terebynthis ferax & paucis vitibus, vt parva
Et æqualis omnis & in accessa.
Quæ v. vicinæ magnæ sunt, latæ sed magna ex parte
Asperæ, magnitudine ob id antecellunt.
Fructibus haud stadijs contenãmus, neq; enim sulcus
Ægypti Libyæ arenam curat.

Τοῦ αὐτοῦ.

Ὡς πάρος ἀλλοίου, νῦν καίσαρος ἡ ῥοδός εἰμι
Νᾶσος· ἴσον δ' αὐχῶ φέγγος ἀπ' ἀμφοτέρων.
Ἤδη σβεννυμένων με νέα κατεφώτισεν ἀκτὶς,
Ἁλιε, καὶ παρὰ σὸν φέγγος ἔλαμψε νέρων.
Πῶς εἴπω; τίνι μᾶλλον ὀφείλομαι; ὃς μὲν, ἔδειξεν
Ἐξ ἁλός· ὃς δ' ἤδη ῥύσατο δυομένην.

ΕΙΣ ΟΙΝΟΝ, κεφ. νθ.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ὑδατος ἀκρήτου κεκορημένῳ ἄγχι παραστὰς
Χθιζὸν ἐμοὶ κοτέων βάκχος ἔλεξε τάδε,
Εὔδεις ἄξιον ὕπνον ἀπεχθομένων ἀφροδίτῃ.
Εἰπέ μοι, ὦ νήφων, πεύθεαι ἱππολύτου;
Τάρβει μὴ τι πάθῃς ἐναλίγκιον. ὣς ὁ μὲν εἰπὼν
Ὤχετ'· ἐμοὶ δ' ἀπὸ τῆς οὐκ ἔτι τερπνὸν ὕδωρ.

ΦΙΛΙΠΠΟΥ.

Εὐθαλέα πλάτανόν με νότου βαρυλαίλαπες αὖραι
Ῥίζης ἐξ αὐτῆς ἐστόρεσαν δοπέδῳ.
Λουσαμένη βρομίῳ δ' ἔστην πάλιν, ὄμβρον ἔχουσα
Χείματι καὶ θάλπει, τοῦ διὸς ἡδύτερον.
Ὀλλυμένη δ' ἔζησα· μόνη δὲ πιοῦσα λυαῖον,
Ἄλλων κλινομένων, ἐρθοτέρη βλέπομαι.

ΜΕΛΕΑΓΡΟΥ.

Αἱ νύμφαι τὸν βάκχον, ὅτ' ἐκ πυρὸς ἤλαθ' ὁ κοῦρος,
Νίψαν, ὑπὲρ τέφρης ἄρτι κυλιόμενον.

Τοὔνεκα

Ejusdem.

Qui prius Solis, jam Cæsaris Rhodus sum
Insula, æqualem verò jacto lucem ab vtrisq;,
Iam verò obscuratam me nouus illuminauit radius,
O Sol, & iuxta tuum lumen resplendit Nero.
Quomodo dico? Cui prius debeo? ille n. demonstravit
E mari, hic verò iam liberavit mergendam.

IN VINVM, Cap. LIX.

ANTIPATRI.

Aquâ merâ satiato prope adstans
Heri mihi iratus dixit hæc Bacchus.
Dormis dignũ somnum illis, qui invisi sunt Veneri
Die mihi, ô sobrie an obtemperas Hippolyto?
Time ne quid patiaris simile. Sic quidem hic dicens
Abijt. Mihi verò ex illo non amplius grata aqua.

PHILIPPI.

Benè florentẽ platanũ me Noti cũ gravi turbine ventò
Radice ex ipsâ straverunt solo.
Irrigato autem Baccho steti rursus, vmbram habens
Hieme & æstate ipsius Iovis suaviorem (imbre).
Mortua vixi. Sola verò bibens Lyæum
Alijs incortis rectior appareo.

MELEAGRI.

Nymphæ Bacchum, cum ex igni exsiliret puer
Laverunt in cinere jam involutum.

Τοὔνεκα σὺν νύμφαις βρόμιος φίλος· ἢν δέ νιν εἴρ-
Μίσγεσθαι, δέξῃ πῦρ ἔτι καιόμενον. (γῃς

ΕΠΙΓΟΝΟΥ θετταλοῦ.

Αργυρέη κρηνίς με τὸν οὐκ ἔτι μακρὰ βοῶντα
Βάτραχον οἰνηραῖς ἔσχεν ὑπὸ σταγόσιν.
Κεῖμαι δ' ἐν νύμφαις, κείναις φίλος, οὐδὲ λυαίῳ
Εχθρὸς, ὑπ' ἀμφοτέρων λυόμενος σταγόσιν.
Οψέ ποτ' εἰς διόνυσον ἐκώμασα. φεῦ, τίνες ὕδωρ
Πίνουσι, μανίην σώφρονα μαινόμενοι;

ΙΟΥΛΙΑΝΟΥ βασιλέως εἰς οἶνον
ἀπὸ κριθῆς.

Τίς; πόθεν εἷς διόνυσε; μὰ γὰρ τὸν ἀληθέα βάκχον,
Οὔ σ' ἐπιγιγνώσκω· τὸν διὸς οἶδα μόνον,
Κεῖνος νέκταρ ὄδωδε· σὺ δὲ, τράγον. ἦ ῥά σε κελτοὶ,
Τῇ πενίῃ βοτρύων, τεῦξαν ἀπ' ἀσταχύων·
Τῷ σὲ χρὴ καλέειν δημήτριον, οὐ διόνυσον,
Πυρογενῆ μᾶλλον, καὶ βρόμον, οὐ βρόμιον.

ΑΛΚΑΙΟΥ.

Οἶνος καὶ κένταυρον ἐπίκρατες, οὐχί σε μοῦνον
Ωλεσεν, ἠδ' ἐρατὴν καλλίου ἡλικίην.
Οντως ὠμοχάρων ὁ μονόμματος, ᾧ σὺ τάχιστα
Τὴν αὐτὴν πέμψαις ἐξ αἰδέω πρόποσιν.

ΝΙΚΗΡΑΤΟΥ.

Οἶνός τοι χαρίεντι μέγας πέλει ἵππος ἀοιδῷ·
Υδωρ δὲ πίνων, καλὸν οὐ τέκοις ἔπος.

Ταῦτ'

Ob id cũ Nymphis Bacchus gratus. Sin v. ipsũ impedi-
Miſceri, accipies ignem adhuc ardentem. (eris

EPIGONI Theſſali.

Aureus fons me nondum magnum clamantem
Ranam vineis habuit ſub guttis.
Iaceo vero in Nymphis, illis amica, neq; Baccho
Hoſtis, vtriusq; ſoluta guttis.
Sero aliquando in Dionyſum cõmiſſatus ſum. Vah! qui
Bibunt, inſaniam ſobriam inſanientes? (aquã

IVLIANI Regis in vinum ex hordeo.

Quis? Vnde es Bacche? Per enim verum Bacchum,
Non te, novi Iovis ſolum, novi filium.
Ille nectar olet, tu vero hircum. Profecto te Celtæ
Inopia vuarum fecerunt è ſpicis.
Vnde te fas eſt vocari Demetrium, non Dionyſum.
Et potuis ex igne genitũ, & bromon, non Bromiũ.

ALCAEI.

Vinum centaurum etiam, ô Epicrates, non te ſolum
Perdidit, amabilem Callij iuventutem.
Revera crudelis fuit vnoculus, cui tu celerrimè
Eandem mittes ex inferno potionem.

NICERATI.

Vinum ſane gratioſo magnus eſt equus Cantori.
Aquam vero bibens gratioſũ non produces verbũ.

Hæc

Ταῦτ' ἔλεγλν δόνυσε, κὴ ἔπεσεν σὺχ' ἑνὸς ἀσκοῦ
Κεραπῖνος, ἀλλὰ παντὸς ὄδωδεν πίθου.
Τοὶ γὰρ ὑπὸ σεφάνοις μέγας ἔβρυεν, εἶχε δ' ἱσοῦ
Μέτωπον, ὥσπερ κὴ σὺ, κεκερκωμυλόν.

ΕΙΣ ΟΡΝΙΣ, κεφ. ξ.

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Μηκέτι νῦν μινύεσθε παρὰ δρυΐ, μηκέτι φώνῃ
Κλωνὸς ὑπ' ἀκροπάτου κάσυφε κεκλιμένος.
Ἐχθρὸν σοι τόδε δένδρον, ὑπείροπος ἅμπελος ἅπτω
Ἀντέλλῃ, γλαυκῶν ζύσκιος ἐκ πετάλων.
Κάνης παρὸν ἔρεισον ὑπὸ κλάδον, ἀμφί τε κείνῃ
Μέλπε λιγυὸ ποικέων ἐκ σύριγος κέλαδον.
Δρῦς γὰρ ὑπ' ὀρνίθεσσι φέρει τὸν ἀνάρσιον ἰξὸν,
Ἡδὲ, βόσιμον. σέργε δ' ὑμνοπόλους ἐρέμου.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ὁ πρὶν ἐγὼ ῥοδίοισιν ἀνέμβατος ἱεροῖς ὄρνις,
Ὁ πρὶν κερκαφίδεσσι αἰετὸς ἰσορέπης,
Τψιπετῆ τότε πρῶτον ἀνὰ πλατὺ ἦερ' ἀερθείς,
Ἠλυθον, ἠελίου νῆσον ὅτ' εἶχε νέρων.
Κάνου δ' αὐλίσθην ἐπὶ δώμασι, χειρὶ ζωσθεὶς
Κεμπτῆρος, ὃ φεύγων ζωὸν τὸν ἐσόμενον.

ΦΙΛΙΠΠΟΥ.

Φιθιακὸς ὁ βροτόγηρυς, ἀφεὶς λυγρὸν δυσέα κύρτον,
Ἠλυθεν εἰς δρυμοὺς ἀντοφυεῖ πτέρυγι.
Αἰεὶ δ' ἐκμελετῶν ἀπατάσμασι κλίσαρχα κλεινὸν,
Οὐ δ' ἀν' ὕρη λήθῃσιν ἠχῆς ὀνόματος.

Εθραμε

Hæc dixit, ô Bacche, & oluit non ex vno vera
Cratinus, sed omnia olebat dolia.
Huic n. è coronis conspicuus scaturivit. Habuit v. he-
Frontem, vt & tu redimitam. (dera

IN AVES, LX.

ARGENTARII.

Non amplus canta in quercu, non amplius vocem ede
Ramo in summo merula insidens.
Hostilis tibi hæc arbor. Propera eo, vitis vbi
Oritur, viridibus vmbrosa folijs.
Illius pedem fige in ramo, Et circa ipsam
Canta, sonoram profundens ex ore cantilenam.
Quercus enim super aves producit inimicum viscum.
Hæc verò vuam. Amat vero cantores Bacchus.

APOLLONIDÆ.

Quæ prius ego Rhodijs inaccessa sacra avis,
Quæ prius Cercaphidis aquila fui historia,
Alti volantem tunc plantam per latum aëra extendẽs
Veni, Solis insulam vbi habet Nero.
Ejus vero nidũ exstruxi in domibus, manu mãsuetus
Crantoris, non fugiens Iovem futurũ.

PHILIPPI.

Psittacus humanã edens vocẽ, relinquens è virgis textã
Venit in silvam densam floridâ alâ. (caveam
Semper vero meditans salutationibus Cæsarem inclytũ,
Neq; per montem obliuionem induxit nominis,

Accessit

Εδραμε δ' ὠκυδίδακτος ἅπας οἰωνὸς, ἐρίζων
Τίς φθῆναι δύναται δαίμονι χαῖρ' ἐνέπειν.
Ορφεὺς θῆρας ἔπεισεν ἐν οὔρεσιν, ἐς δέ σε καῖσαρ
Νῦν ἀκέλευστος ἅπας ὄρνις ἀνακρέκεται.

ΑΡΧΙΟΥ.

Αὐταῖς σὺν κίχλῃσιν ὑπὲρ φραγμοῖο διωχθεὶς
Κόσσυφος, ἠερίης κόλπον ἐδυ νεφέλης.
Καὶ τὰς μὲν συνοχηδὸν ἀνέκδρομος ὤχμασε θώμιγξ,
Τὸν δ', μόνον πλεκτῶν αὖθι μεθῆκε λίνων.
Ἱερὸν ἀοιδοπόλων ἐτύμως γένος. ἦ ἄρα πολλὴν
Καὶ κωφαὶ πτηνῶν φροντίδ' ἔχουσι πάγαι.

ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Ορθριος εὐπλέκτοιο λίνου νεφοειδέϊ κόλπῳ
Εμπεσε σὺν κίχλῃ κόσσυφος ἡδυβόας.
Καὶ τὰν μὲν πανάφυκτος ἕλε βρόχος· ὠκὺ δ' ἀπέ-
Εξ ὀρνιθοπέδας ᾠδὸς ἐρημόφιλος. (πτα
Η τάχα που τριμάκαιρα φιλαγρέτις ὄρνιν ἀοιδὸν
Αρτεμις εὐμόλπου λῦσεν ἄνακτι λύρης.

ΑΝΤΙΦΙΛΟΥ.

Α καλὸν αὐτοπόνητον, ἐν αἰθέρι ῥεῦμα μελισσῶν,
Αἱ πλασταὶ κηρῶν αὐτοπαγεῖς θαλάμαι.
Προίκιος ἀνθρώπων βιότῳ χάρις, οὐχὶ μακέλλας,
Οὐ βοὸς, οὐ γαμψῶν δευομένα δρεπάνων,
Γαυλοῦ δ' σμικροῖο, τόθι γλυκὺ νᾶμα μέλισσα
Πηγάζει σκήνευς δαψιλὲς ἐξ ὀλίγου.

Χαί-

Acceſsit verò celeriter diſcens omnis avis, contendens
Quæ properare poſſet Deo ſalve dicere.
Orpheus feris perſuaſit in montibus, in te vero Cæſar
Iam ſine iuſſu omnis avis loquitur.

ARCHII.

Ipſis cum turdis in ſepibus venatione petita
Merula aërij ſinum ſubit retis,
Et has quidem arctè ſuperiniectus continet funiculus
Hanc verò ſolam textis rurſus emiſit filis.
Sacrum cantorum revera genus. Sanè multam
Etiam ſurda volucrum curam habent retia.

PAVLI SILENTIARII.

Mane cantillans benetexti fili nubiformi in ſinu
Incidit cum turdo merula ſuavè clamans (aufugi.
Et illũ quidẽ inevitabilis abſtulit laqueus, celeriter v.
E laqueis avium Cantor gaudens ſolitudine.
Forte ter beata venatrix avem cantorem
Diana bene ſonantis ſolvit regi Lyræ.

ANTIPHILI.

Heu, quã pulcrũ ex ſe proveniens in æthere flumẽ apiũ,
Formata Cerarum per ſe conſtructa cella.
Spontanea mortalium vitæ gratia, non ligone,
Non boue, non curuis indigens falcibus;
Alueo tantum paruo. vbi dulcem fontem apis
Stillat vaſculo abundè ex paruo.

Χαίροισθ' εὐαγέες, καὶ ἄνθεσι πιμαίνοισθε.
Αἰθερίου πτηναὶ νέκταρος ἐργάτιδες.

ΖΩΝΑ.

Εἰδ' ἄγετε, ξυθαὶ συμβληΐδες ἄκρα μέλισσαι
Φέρβεσθ' ἢ θύμων ῥικνὰ πεικνίδια,
Η πετάλας μάκωνας, ἢ ἀσταφιδίτιδα ῥᾶγα,
Η ἴον, ἢ μάλων χνοῦν ἐπικαρπίδιον.
Πάντα πεικνίξασθε, καὶ ἄγγεα κηρώσασθε,
Οφρα μελισσοσίος πὰν ἐπικυψέλιος
Γεύσηται τὸ μὲν αὐτός· ὁ δὲ βλυστηρίδι χειρὶ
Καπνώσας, βαιὴν κῦμμι λίπῃ μερίδα.

ΝΙΚΑΝΔΡΟΥ.

Ιπποι μὲν, Σφηκῶν γένεσις· ταῦροι δὲ, μελισσῶν.

ΠΑΛΛΑΔΑ.

Τίπτε πανημέριος πανδιονὶ κάμμορε κούρη,
Μυρομένη κελαδεῖς τραυλὰ διὰ στομάτων;
Ητοι παρθενίης πόθος ἵκετο, τήν τοι ἀπηύρα
Θρηΐκιος τηρεὺς, αἰνὰ βιασσάμενος;

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ορνι, τί μοι φίλον ὕπνον ἀφήρπασας; ἡδὺ δὲ πύῤῥης
Εἴδωλον κοίτης ᾤχετ' ἀποπτάμενον;
Ητάδε θρέπτρα τίνεις ὅτι θῆκά σε δύσμορε πάσης
Ωοτόκου κραίνειν ἐν μεγάροις ἀγέλης;
Μὰ βωμὸν καὶ σκῆπτρα Σαράπιδος, οὐκ ἔτι νυκτὸς
Φθέγξεαι, ἀλλ' ἕξεις βωμὸν ὃν ὠμόσαμεν.

ΑΝΤΙ-

Salvete ô puræ, & in floribus pascimini,
Ætherij volucres nectaris operatrices.

ZONÆ.

Agedum flavæ alveatrices summitates apes
Depascimini, & thymi curvos surculos.
Aut florentia papavera, aut vueum acinum
Aut violas aut malorum lanuginem fructiferam.
Omnia decerpite, & vasa cerâ inducite
Vt apum servator Pan subalvearius
Gustet hoc quidem ipse. Hic verò castrante apes manu
Fumũ excitans parvã & nobis relinquat partem.

NICANDRI.

Equi vesparum generatio, tauri verò apum.

PALLADÆ.

Cur per totam diem, ô hirundo infelix puella,
Lamentans canis blesa per os.
An virginitatis desiderium venit? quam tibi abstulit
Thracius Tereus, graviter te cõgens.

ARGENTARII.

Avis, quid mihi carũ sonũ abstuliſti? suaue a Pyrrhæ.
Simulacrum concubitus abijt avolans. (nè
An nutritionis præmia rependis, qui feci te infelix om-
Ovum parienti imperare in ædibus meis gregi?
Per aram sceptrumq́, serapidis, Non amplius nocte
Cantabis, sed habebis aram quem iuravimus.

ΑΝΤΙΠΑΤΡΟΥ.

Δισσᾶν ἐκ βροχίδων ἁ μὲν μία πίονα κίχλαν,
Αμία δ' ἱππεία κόσσυφον εἷλε πάγᾳ.
Αλλὰ τὸ μὲν κίχλας θαλερὸν δέμας ἐς φάος ἠοῦς
Οὐκ ἔτ' ἀπὸ πλεκτᾶς ἧκε δεραιοπέδας·
Αδ' αὖθις μεθέηκε τὸν ἱερὸν. ὦ ἄρ' ἀοιδῶν
Φειδὼ κὴν κωφαῖς ξεῖνε λινοστασίαις.

Αδηλον.

Ατθὶ κόρα, μελίθρεπτε, λάλος λάλον ἁρπάξασα
Τέττιγα, πτανοῖς δαῖτα φέρεις τέκεσιν.
Τὸν λάλον, ἁ λαλόεσσα· τὸ εὔπτερον, ἁ πτερόεσσα,
Τὸν ξένον, ἁ ξεῖνα, ἀρινὸν, ἠερινά.
Οὐχὶ τάχος ῥίψεις; οὐ γὰρ θέμις οὐδὲ δίκαιον
Ολλυσθ' ὑμνοπόλους ὑμνοπόλοις στόμασιν.

ΕΙΣ ΠΑΙΔΙΑΝ, κεφ. ξα.

ΑΓΑΔΙΟΥ σχολαστικοῦ εἰς τὰ λυτὰ ζήνωνος τοῦ βασιλέως.

Οὐτιδανοὶ μερόπων, εἰ καὶ μέγα ῥέξομεν ἔργον,
Οὔτινος ἐς μνήμην δηρὸν ἐπερχόμεθα.
Οἱ δ' ἀγαθοὶ, κὴν μηδὲν, ἀναπνεύσωσι δὲ μοῦνον,
Ως λίβυς εἶπεν ἀνὴρ, τοῦτ' ἀδάμαντι μένει.
Δήποτε γὰρ ζήνωνα πολισσοῦχον βασιλῆα
Παίγνιον ἀφράστων ἐκ τελέοντα κύβων,
Τοίη ποικιλότευτος ἕλεν θέσις, εὖτ' ἀπὸ λευκοῦ
Τοῦ καὶ ὀπισθιδίην εἰς ὁδὸν ἐρχομένου.

Επτὰ

Duobus ex laqueis, hic quidem vnus pinguem turdum,
Vna verò equina merulam cepit seta,
Sed turdi quidem floridum corpus in lucem auroræ
Non amplius à contexto venit laqueo.
Hæc vero rursus dimisit sacrum. Erat sanè Cantorũ
Parsimonia etiam in surdis, ô hospes, laqueis.

Incerti.

Attica puella, nutrita, vocalis vocalem rapiens
Cicadam, volucribus escam fers pullis.
Vocalem vocalis, alatam alata,
Hospitem hospes, vere canentem verna,
Nonne mox abijcies illam? Non enim fas, neq; iustũ
Perire canentes canentum oribus.

IN LVDVM, Cap. LXI.

AGATHIÆ Scholastici in ludum Zenonis regis.

Viles homines, licet magnum faciamus opus,
Nullius in memoriam diu pervenimus.
Reges verò, licet nihil, respirent verò solum,
Vt Libycus dixit vir, hoc perpetuo manet.
Etenim Zenonem vrbis præsidem regem,
Ludum impervestigabilium perficientem cuborum,
Talis variè traxit positio. cum ab albo
Etiam posticam in viam perveniente.

Επτὰ μὲν ἕκτος ἔχεν, μίαν εἴνατος· αὐτὰρ ὁ σοῦμμος
Δισσὰς ἀμφιέπων, ἶσος ἔην δεκάτῳ.
Ος δὲ πέλει μετὰ σοῦμμον, ἔχεν δύο· μουνάδα δ' ἄλλην
Ψῆφον τὴν πυμάτην ἀμφιέπεσκε δίβος.
Αλλὰ μέλας δισσὰς μὲν ἐν ὀγδοάτῳ λίπε χώρῳ,
Καὶ τόσσας ἑτέρας ἐς θέσιν ἐνδεκάτης.
Αμφὶ δυωδέκατον δὲ διέπρεπον εἴκελοι ἄλλαι,
Καὶ τρισκαιδεκάτῳ ψῆφος ἔκειτο μία.
Δίζυγες ἀντίγονον διεκόσμεον· ἀλλὰ καὶ αὐτῷ
Ισος ἔμιμνε τύπος πεντεπικαιδεκάτῳ,
Οκτωκαιδεκάτῳ παρομοίϊος· εἰσέτι δ' ἄλλας
Εἶχεν διχθαδίας τέτρατος ἐκ πυμάτου.
Αὐτὰρ ἄναξ λευκοῖο λαχὼν σημήϊα πεσσοῦ,
Καὶ τὴν ἐσσομένην σὺ νοέων παγίδα,
Τριχθαδίας ἀδόκητα βαλὼν ψηφῖδας ἀριθμοῦ,
Πύργου δουρατέου κλίμακι κευθομένην,
Δοιὰ καὶ ἓξ ἐς πέντε κατήγαγεν· αὐτίκα δ' ὀκτὼ
Αζυγας εἶχεν ὅλας πρόσθε μεριζομένας.
Ταύλην φεύγετε πάντες, ἐπεὶ καὶ κοίρανος αὐτὸς
Κείνης τὰς ἀλόγους οὐχ ὑπάλυξε τύχας.

ΕΙΣ ΠΑΝΟΥΡΓΟΥΣ,
κεφ. ξβ.

ΚΡΙΝΑΓΟΡΟΥ.

Ψευδόμενοι ῥινῶν ὀξὺν στίβον, ὦ κακὸν εὑρεῖν
Ρηΐτεραι λιγύων μήτιες, ἢ ἀγαθόν.

Τίνας

Septem quidem sextus habebat, vnã nonus, sed sũmus
Binas continens aqualis erat decimo.
Et qui est post summum habet duo. Vnitatẽ v. aliã
Calculum vltimum continebat dãbus.
Sed niger duplices quidẽ in octauo relinquebatur choro
Et tantus alius in positionem vndecimus.
Circa duodecimum verò excellebant similes aliæ
Et decimo tertio calculus ponebatur vnitas.
Bijuges Antigonum ornarunt. Sed & ipsi
Similis manebat typus decimo quinto,
Decimo octavo similis, insuper alias
Habebat divisas quartus ex vltimo.
Sed rex albi sortitus signa calculi
Et futurum non sciens decipulum:
Triplices cũ ex improuiso projecissẽt calculos numeri.
Turriculæ ligneæ in gradibus reconditam,
Bina, & sex, & quinq; duxit, Statim verò octo,
Impares habuit omnes totas prius divisas.
Tabularum ludum fugite omnes, postquam & rex ipse
Eius irrationales non evitavit fortunas.

IN VERSVTOS, Cap. LXII.

CRINAGORI.

Mentientes bubulæ pellis acutam viam. O malum
Invenire faciliora Libycorum consilia, quã bonũ!

Τίνας ἂν εἴποι λόγους ἀχιλλεὺς ἰδὼν ὀδυσσέα ἐν ᾅδου.

Ατρεκέως πάντων πολυμήχανός ἐστιν ὀδυσσεύς·
Ζωὸς ἐὼν ἐνόησεν ἃ μὴ θέμις ἐστὶν ἰδέσθαι,
Νερτέριον κευθμῶνα, καὶ ἄλγεα πικρὰ θανόντων.
Πῶς δ' ἔτλη προλιπεῖν ἱερὸν φάος; ἢ τίς ἀνάγκη
Ηγεγεν οὐκ ἐθέλοντα; δόλων ἀκόρητος ἐτύχθη
Εν χθονὶ καὶ πελάγεσσι, καὶ ἐν νεκύεσσιν ὀδυσσεύς.

ΕΙΣ ΠΑΡΑΜΥΘΙΑΝ, κεφ. ξγ.

ΠΑΛΛΑΔΑ.

Εσθιε, πῖνε, μύσας ἐπὶ πένθεσιν. οὐ γὰρ ἔοικε
Γαστέρι πενθῆσαι νεκρὸν, ὅμηρος ἔφη.
Καὶ γὰρ ὁμοῦ θάψασαν ὀλωλότα δώδεκα τέκνα.
Σίτου μνησαμένην τὴν νιόβην παράγει.

Τοῦ αὐτοῦ.

Προσδοκίη θανάτου, πολυώδυνός ἐστιν ἀνίη.
Τοῦτο δὲ κερδαίνει θνητὸς ἀπολλύμενος.
Μὴ τοίνυν κλαύσῃς τὸν ἐποιχόμενον βιότοιο.
Οὐδὲν γὰρ θανάτου δεύτερόν ἐστι πάθος.

Τοῦ αὐτοῦ.

Ρίπτε γόους, μὴ κάμνε, πόσον χρόνον ἐνθάδε μίμνεις,
Ως πρὸς ἐκεῖνον ἕλον τὸν μετὰ ταῦτα βίον;
Πρὶν τοίνυν σκώληκα βαλεῖν, τύμβοις τε ῥιφῆναι,
Μὴ δαμάσῃς ψυχὴν ζῶν ἔτι κρινομένην.

ΕΙΣ

Quæ dixerit verba Achilles videns Vlyſſem in inferno.

Revera omnium ſolertiſſimus eſt Vlyſſes.
Viuus cum eſſet, cognovit, qua non fas eſt videre,
Infernum ſpecum & dolores acerbos mortuorum.
Quomodo a. ſuſtinuit relinquere ſacrũ lumen. a. quæ-
Duxit nolentem? doli inſatiabilis fuit (nã neceſſitas
In terra, & pelago, & in mortuis Vlyſſes.

IN CONSOLATIONEM, Cap. LXIII.

PALLADÆ.

Ede, bibe, oculus claudens ad dolores, non n. convenit
Ventre dolere mortuum, Homerus ait.
Nam ſimul ſepelientem mortuos duodecim liberos
Cibi meminiſſe Niobem repræſentat.

Ejusdem.

Exſpectatio mortis luctuoſus eſt dolor.
Hoc verò lucratur mortalis moriens,
Non igitur flebis egredientem è vitâ;
Nulla enim poſt mortem altera eſt calamitas.

Ejusdem.

Mitte luctum, ne labores, quanto tempore hic manes,
Quantũ pertinet ad illã totam quæ futura eſt vitã?
Antequã i. vermibus ſcateas, & in ſepulcrũ proijciare
Noli cogere animã viuens, de quâ adhuc iudicatur.

ΕΙΣ ΠΑΤΡΙΔΑ, κεφ. ξδ.

ΠΑΛΛΑΔΑ.

Ως οὐδὲν γλύκιόν γ' ἧς πατρίδος, εἶπεν ὅμηρος.
Εν γὰρ τοῖς κίρκης ἔκχυτον οὐκ ἔφαγεν.
Οὗ μόνον εἰ καὶ καπνὸν ἀποθρώσκοντ' ἐνόησεν,
Εἶπεν ἂν οἰμώζειν καὶ δέκα πηνελόπας.
Τίνας ἂν εἴποι λόγους ὀδυσσεὺς ἐπι-
βὰς ἰθάκης.
Χαῖρ' ἰθάκη· μέτ' ἄεθλα, μετ' ἄλγεα πικρὰ θαλάσ-
Ασπασίως τεὸν οὖδας ἱκάνομαι, ὄφρα νοήσω (σης,
Λαέρτην, ἄλοχόν τε, καὶ ἀγλαὸν υἱέα μοῦνον.
Σὸς γὰρ ἔρως κατέθελξεν ἐμὸν νόον. οἶδα δὲ αὐτὸς
Εἰς οὐδὲν γλύκιόν γ' ἧς πατρίδος, ἠδὲ τοκήων.

ΕΙΣ ΠΗΓΑΣ, κεφ. ξε.

ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

a Σιγήσας ἄρυσαι. b τίνος οὕνεκα; a μηκέτ' ἀρύου.
b Τεῦ χάριν; a ἡσυχίοις ἡδὺ λέλογχα ποτόν.

Αδέσποτον.

a Δύσκολος εἶ κρήνη. b γεῦσαι, καὶ μᾶλλον ἐρεῖς με
Δύσκολον. a ὦ πικροῦ νάματος. b ὦ λαλιῆς.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ἦν καθαρὴ (νύμφαι γὰρ ἐπώνυμον ἔξοχον ἄλλων
Κρήνῃ πασάων δῶκαν ἐμοὶ λιβάδων)
Ληϊστὴς ὅτε μοι παρακλίντορας ἔκτανεν ἄνδρας,
Καὶ φονίην ἱεροῖς ὕδασι λοῦσε χέρα,

Κεῖνον

IN PATRIAM, Cap. LXIV.

PALLADÆ.

Quàm nihil dulcius est patriâ suâ, dixit Homerus,
In Circes n. ædibus quod infusum erat non biberat.
Cuius solum si vel fumum evolantem cognosset,
Iussisset lugere vel decem Penelopas.

Quæ dixerit verba Vlysses ingrediens Ithacam.

Salve Ithaca, post bella, post dolores graves maris,
Lubenter in tuum solum venio, vt cognoscam
Laërten, coniugemq́, & clarum filium vnum.
Tuus enim amor irretivit meum animum. Scio n. ipse
Quod nil dulcius est patriâ suâ, atq; parentibus

IN FONTES, Cap. LXV.

STATVLLII FLACCI.

α. Tacens hauri. β. Quã ob causã? α. Non hauseris.
β. Quare? α. Tacentibus dulcẽ præbeo potum.

Incerti.

α. Ingratus es fons. β. Gusta, & magis dices me
Ingratũ. α. heu acerbũ fontẽ! β. Heu garrulitatẽ!

APOLLONIDÆ.

Erã purus (Nymphæ n. cognomẽ eximiũ præ reliquis
Fonti omnium mihi dederunt aquarum)
Latro cum apud me recubantes occidit viros,
Et lethalem sancto flumine lauit manum,

Illum

Κεῖνον ἀναστρέψασα γλυκὺν ῥόον, οὐκ ἔθ' ὀδίταις
Βλύζω. τίς γὰρ ἐρεῖ τὴν καθαρὴν ἔτι με;

ΑΝΤΙΦΑΝΟΥΣ, εἰς τὴν αὐτήν.

Ἡ πάρος εὐύδροισι λιβαζομένη προχοῇσι,
Πτωχὴ νῦν νυμφῶν μέχρι καὶ ἐς σταγόνα.
Λυθρώδεις γὰρ ἐμοῖσιν ἐνίψατο νάμασι χεῖρας
Ἀνδροφόνος, κηλῖδ' ὕδασιν ἐγκεράων.
Ἐξ οὗ μοι κοῦραι φύγον ἥλιον, εἰς ἕνα βάκχον,
(Εἰποῦσαι) νύμφαι μισγόμεθ', οὐκ ἐς ἄρη.

ΣΑΤΥΡΟΥ.

Ἡ καλὸν αἱ δάφναι, καλὸν δ' ὑπὸ πυθμέσιν ὕδωρ
Πιδύει, πυκινὸν δ' ἄλσος ὑποσκιάει,
Τηλεθάον, ζεφύροισιν ἐπίδρομον ἄλκαρ ὀδίταις
Δίψης, καὶ καμάτου, καὶ φλογὸς ἠελίου.

Αδηλον.

Εἴτις ἀπάγξασθαι μὲν ὀκνεῖ, θανάτου δ' ἐπιθυμεῖ,
Ἐξ ἱερᾶς πόλεως ψυχρὸν ὕδωρ πιέτω.

Εἰς τὴν Σαλμακίδα, Αδηλον.

Εἰ μὲν ἀνὴρ ἥκεις, ἄρυσαι ξένε τῆσδ' ἀπὸ πηγῆς·
Εἰ δὲ φύσει μαλακὸς, μή με πίῃς πρόφασιν.
Ἀῤῥεν ἐγὼ ποτόν εἰμι, καὶ ἀνδράσι μοῦνον ἀρέσκω·
Τοῖς δὲ φύσει μαλακοῖς ἡ φύσις ἐστὶν ὕδωρ.

ΕΙΣ ΠΛΟΥΤΟΥΝΤΑΣ, κεφ. ξς.

Αδηλον.

Ἦν νέος, ἀλλὰ πένης· νῦν γηρῶν, πλούσιός εἰμι.
Ὦ μόνος ἐκ πάντων οἰκτρὸς ἐν ἀμφοτέροις.

Ος

Illũ revocavi dulcẽ fluxum. Nec amplius viatoribus
Scaturio. Quis enim dicet purum adhuc me?

ANTIPHANIS in eundem.

Qui prius bonæ aquæ stillavi flumine
Inops nunc aquarum etiam usq; ad guttam.
Cruentas enim meis lavit fluminibus aquas
Homicida, maculam aquis commiscens.
Ex eo mihi aquæ fugerunt lucem, in vnum Bacchum
(Dicentes) Nymphæ miscemur, non in Martem.

SATYRI.

Certè pulcrum sunt lauri, pulcra verò & in fundo aqua
Scaturit, densum vero nemus obumbrat,
Germinans, Zephyris expositũ, præsidium viatoribus
Situs, & laboris, & flammæ solis.

Incerti.

Si quis suffocari quidem timet, mortem verò desiderat,
Ex sacrâ civitate frigidam aquam bibat.

In Salmacidem incerti.

Si quidem vir venis, hauri hospes hoc ex fonte,
Sin v. naturâ mollis, ne me bibas (huius rei) causã,
Virilis ego votus sum & viris solummodo placeo,
Naturâ verò mollibus ipsa natura est aqua.

IN DITESCENTES, Cap. LXVI.

Incerti.

Eram juvenis, sed mendicus, nunc senex dives sum,
Heu mihi qui solus inter omnes miser sum in vrbe,

Qui

Ος τότε μὲν χρῆσθαι δυνάμην ὁπότ' οὐδεὲν εἶχον·
Νῦν δ' ὁπότε χρῆσθαι μὴ δύναμαι, τότ' ἔχω.

ΠΑΛΛΑΔΑ.

Χρυσὲ, πάτερ κολάκων, ὀδύνης καὶ φροντίδος υἱὲ,
Καὶ τὸ ἔχειν σε, φόβος, καὶ μὴ ἔχειν σ', ὀδύνη.

ΛΟΥΚΙΑΝΟΥ.

Πλοῦτος ὁ τῆς ψυχῆς, πλοῦτος μόνος ἐστὶν ἀληθὴς·
Τἄλλα δ' ἔχει αὐτὴ πλείονα τῶν κτεάνων.
Τὸν δὲ πολυκτέανον καὶ πλούσιόν ἐστι δίκαιον
Κλῄζειν, ὃς χρῆσθαι τοῖς ἀγαθοῖς δύναται.
Εἰ δέ τις ἐν ψήφοις κατατήκεται, ἄλλον ἐπ' ἄλλῳ
Σωρεύειν ἀεὶ πλοῦτον ἐπειγόμενος,
Οὗτος, ὁποῖα μέλισσα πολυτρήτοις ἐνὶ σίμβλοις,
Μοχθήσει, ἑτέρων δρεψομένων τὸ μέλι.

ΠΑΛΛΑΔΑ.

Πλουτεῖς; καὶ τί τὸ λοιπόν; ἀπερχόμενος, μετὰ σαυτοῦ
Τὸν πλοῦτον σύρεις εἰς σορὸν ἑλκόμενος;
Τὸν πλοῦτον συνάγεις, δαπανῶν χρόνον. οὐ δύνασαι δὲ
Ζωῆς σωρεῦσαι μέτρα περισσότερα.

Τοῦ αὐτοῦ.

Φεύγετε τοὺς πλουτοῦντας, ἀναιδέας, οἰκοτυράννους,
Μισοῦντας πενίην μητέρα σωφροσύνης.

Αδηλον.

Βάπτων πάντα βαφεῦ, καὶ χρωματίοις μεταβάλλων,
Καὶ πενίην βάψας, πλούσιος ἐξεφάνης.

Εἰς

Qui tunc quidem vti poteram, cum nihil haberem,
Iam verò cum vti non possum, tunc habeo.

PALLADÆ.

Aurum pater adsentatorum, doloris, & curæ fili,
Et te habere est metus, & non habere te dolor.

LVCIANI.

Dives animo, dives solus est verè,
Reliqua verò habet ipsa potiora possessionibus.
Illum verò locupletem & diuitem est iustum
Vocari, qui vti bonis potest.
Si quis verò in calculis tabesit, alias super alias
Coacervando semper diuitias accumulat,
Εἰς μίαν εἰσορόων ἐλπίδα, τὴν σοφίην.

Εἰς τὴν φιλόσοφον ὑπατίαν.

Οταν βλέπω σε, προσκυνῶ, καὶ σοῦ λόγους,
Τῆς παρθένου τὸν οἶκον ἀστρῷον βλέπων.
Εἰς οὐρανὸν γάρ ἐστι σοῦ τὰ πράγματα
Υπατία σεμνὴ, τῶν λόγων εὐμορφία,
Αχραντον ἄστρον τῆς σοφῆς παιδεύσεως.

ΕΙΣ ΣΥΓΚΡΙΣΙΝ, κεφ. οζ.

Αδηλον.

Εἰ κύκνῳ δύναται κόρυδος παραπλήσιον ᾄδειν,
Τολμῶεν δ' ἐρίσαι σκῶπες ἀηδονίσιν,
Εἰ κόκκυξ τέττιγος ἐρεῖ λιγυρώτερος εἶναι,
Ισα ποιεῖν καὶ ἐγὼ παλλάδιῳ δύναμαι.

ΕΙΣ ΣΩΦΡΟΣΥΝΗΝ, κεφ. οη.

ΑΝΤΙ-

Vbi verò quis qui equitare didicit, volet cantare
In vtroq; peccat, & in equitatu, & in cantilenâ.

PAVLI SILENTIARII.

Non vita gratiosam habet naturam, sed proijcere
Curas è pectoribus canitiem inducentes.
Diuitias habere volo sufficientis. At verò vlteriot
Animum semper excest auro insaniens cura.
Vnde in hominibus meliorem sæpe deprehendas
Et paupertatem diuitijs, & mortem vitâ.
Hæc tu cognoscens cordis dirige vias
In vnam intuens spem, sapientiam.

In Philosopham Hypatian.

Quando intuor te, adoro, & sermones
Virginis domum sideream intuens.
E Cælis enim tua sunt opera,
Hypatia casta, sermonum venustas,
Impollutum Astrum sapientis doctrinæ.

IN COMPARATIONEM, Cap. LXXVI.

Incerti.

Si cycno potest graculus consimiliter canere,
Et audeant contendere noctuæ cum luscinijs,
Si cuculus cicadâ dicetur vocalior esse,
Æqualia facere & ego Palladio possum.

IN TEMPERANTIAM, LXXIIX.

ANTI-

ΑΝΤΙΠΑΤΡΟΥ θετταλοῦ.

Αντιγένης ὁ γαλῶος ἔπος ποτὲ τοῦτο θυγατρὶ
Εἶπεν, ὅτ' ἦν ἤδη νεύμενος εἰς ἀΐδην,
Παρθένε καλλιπάρῃε, κόρη δ' ἐμὴ, ἴσχε συνεργὸν
Ηλακάτην, ἀρκεῦν κτῆμα πένητι βίῳ.
Ην δ' ἴκῃ ἐς ὑμέναιον, ἀχαιΐδος ἤθεα μητρὸς
Χρηστὰ φύλασσε, πόσει προῖκα βεβαιοτάτην.

Αδηλον.

Σωφροσύνη καὶ ἔρως κατεναντίον ἀλλήλοισιν
Ελθόντες, ψυχὰς ὤλεσαν ἀμφότεροι.
Φαίδρην μὲν κτεῖνεν πυρόεις πόθος ἱππολύτοιο,
Ιππόλυτον δ' ἁγνὴ πέφνε σαοφροσύνη.

ΠΑΛΛΑΔΑ.

Νηδὺν ἀναίσχυντον στιβαροῖς ᾔσχυνα λογισμοῖς,
Σωφροσύνῃ κολάσας ἔντερον ἀργαλέον.
Εἰ γὰρ ἔχω τὸν νοῦν ἐπικείμενον ὑψόθι γαστρὸς,
Πῶς μὴ νικήσω τὴν ὑποτασσομένην;

Τοῦ αὐτοῦ.

Οὐδὲν σωφροσύνης τεκμήριόν ἐστι πρόδηλον·
Τοῖς ἐμπαιζομένοις ἀνδράσι ταῦτα λέγω.
Οὔτε τὸ δύσμορφον πάντως ἀνύπαπτον ὑπάρχει,
Οὔτ' ἀκολασταίνειν πᾶσα πέφυκε καλή.
Καὶ γάρ τις διὰ τὴν ὥραν τοῖς πολλὰ διδοῦσιν
Οὐχ ἕπεται· πολλὰς δ' ἐστὶ γυναῖκας ἰδεῖν
Οὐχὶ καλὰς τὴν ὄψιν, ὁπλιζομένας ἀκορέστως,
Καὶ τοῖς χρησαμένοις πολλὰ χαριζομένας.

Οὐκ

ANIPATRI THESSALI.

Antigenes Gelensis verbum aliquando hoc filiæ
Dixit cum esset iam destinatus, ad inferos:
Filia pulcris genis, filia mea, exerce cooperatorem
Colum, sufficientem possessionem pauperi vitæ.
Cum verò veneris in Hymenæum Græcæ mores matris
Bonos serva, marito dotem firmissimam.

Incerti.

Castitas & amor contraria sibi invicem
Venientia, animas perdiderunt vtrumq;.
Phædram interemit igneum desiderium Hippolyti,
Hippolytum verò sancta perdidit temperantia.

PALLADÆ.

Ventrem impudentem validis convicii rationibus,
Temperantiâ puniens ventrem gravem.
Si enim habeo mentem constitutam super ventrem gra-
Quomodo non superabo subiectum. (vem,

Ejusdem.

Nullum temperantiæ indicium est manifestum,
Deceptis viris hæc loquor.
Neq; n. quod deforme est plane extra suspicionem est,
Neq; intemperans esse omnis solet pulcra.
Etenim quædam ob pulcritudinem multa dantibus
Non obtemperat. Multas v. est mulieres videre.
Non formosas facie expeditas (ad ven.) insatiabiliter
Et rem secum habentibus multa largientibus.

Οὐκ εἴτις συνάγει τὰς ὀφρύας, οὐδὲ γελῶσα
Φαίνεται, ὀφθῆναί τ' ἀνδράσιν ἐκτρέπεται·
Σωφροσύνης τρόπος οὗτος ἐχέγγυος· ἀλλά τις εὕροι
Μαχλάδα μὲν κρύβδην, τὴν πάνυ σεμνοτάτην·
Τὰς δ' ἱλαρὰς, καὶ πᾶσι φιλανθρώπως προσιούσας,
Σώφρανας· εἰ σώφρων ἐστὶ γυνή τις ὅλως.

Τοῦ αὐτοῦ.

Γαστέρα μισήσει θεὸς, καὶ βρώματα γαστρός.
Εἵνεκα γὰρ τούτων σωφροσύνη λύεται.

ΑΓΑΘΙΟΥ.

Καλὸν μὲν συγόδεμνον ἔχει νόον· εἰ δ' ἄρ' ἀνάγκη,
Αρσενικὴ φιλότης μήποτε σὲ κλονέοι.
Θηλυτέρας φιλέειν, ὀλίγον κακὸν, οὕνεκα κείναις
Κυπριδίους ὀάρους πότνα δέδωκε φύσις.
Δέρκεο τῶν ἀλόγων ζώων γένος. οὐ γὰρ ἐκείνων
Φύσις ἀτιμάζει θέσμια συζυγίης·
Αρσενι γὰρ θήλεια συνάπτεται· οἱ δ' ἀλεγεινοὶ
Ανδρεῦ οὐ ἀλλήλους ξεῖνον ἄγουσι γάμον.

ΕΙΣ ΤΙΜΗΝ, κεφ. οθ.

ΠΑΛΛΑΔΑ.

Εκλήθην παρὰ σοῦ τοῦ ῥήτορος· εἰ δ' ἀπελείφθην,
Τὴν τιμὴν ἀπέχω, ἐπλέον εἰμὶ φίλος.
Οὐδὲ γὰρ ἡ ψυχὴ τὸ φαγεῖν κρίνουσα γέγηθεν,
Αλλὰ μόνον τιμῆς αἰσθομένη τρέφεται.

Τοῦ

Non si quæ contrahit supercilia, neq; ridens
Apparet, & videri à viris recusat
Temperantiæ mos hic fidelis. Sed aliquis deprehendas
Scortum occultum vel planè seuerissimam.
Verum hilaras, & omnibus humaniter occurentes
Pudicas. Si modo pudica omnino mulier quædā est.

Ejusdem.

Ventrem odio habeat deus, & escas ventris.
Harum enim caussâ temperantia solvitur.

AGATHIÆ.

Pulcrum quidem castum habere mentem, Si v. necesse sit
Masculus amor nunquam te perturbet.
Mulieres amare breve malum. Ob id illis
Clandestinos congressus pudica dedit natura.
Intuere brutorum animalium genus. Non enim illeriū
Natura inhonesta censet jura coitionis
Viro enim femina conjungitur. Sed pernicioſi
Viri in invicem novas ducant nuptias.

IN HONOREN, Cap. LXXIX.

PALLADÆ.

Invitatus sum à te Rhetore. Si verò nō ivi sed relictus
Honorem reporto, & magis sum amicus. (sum
Non enim anima comedere iudicans, gauisa est,
Sed solummodo honorem sentiens alitur.

Τοῦ αὐτοῦ.

Πολλάκις ἐξέστισα τὴν φιλότητα καὶ ὕβριν·
Καὶ πολὺ κουφοτέρην ζὴν φιλότητα μαθὼν,
Λοιδορίην δὲ ῥέπουσαν, ἐχωρίσθην φιλότητος,
Μηκέτη βαστάζων ὕβριν ἀτιμοτάτην.

ΕΙΣ ΤΥΧΗΝ, κεφ. ϖ.

Αδηλον.

Ελπὶς καὶ σὺ τύχη μέγα χαίρετε· τὴν λιμένν' εὗρον.
Οὐδὲν ἐμοὶ χ' ὑμῖν· παίζετε σοῦ μετ' ἐμέ.

ΛΟΥΚΙΑΝΟΥ.

Αγρὸς ἀχαιμενίδου γενόμην ποτὲ, νῦν δὲ μενίππου,
Καὶ πάλιν ἐξ ἑτέρου βήσομαι εἰς ἕτερον.
Καὶ γὰρ ἐκεῖνος ἔχειν με ποτ' ᾤετο, καὶ πάλιν οὗτος
Οἴεται· εἰμὶ δ' ὅλως οὐδενὸς, ἀλλὰ τύχης.

Αδηλον.

Αἴθε πατήρ μ' ἐδίδαξε δασύτριχα μῆλα νομεύειν,
Ως κεν ὑπὸ πτελέῃσι καθήμενος, ἢ ὑπὸ πέτραις,
Συρίσδων καλάμοισιν, ἐμὰς τέρπεσκον ἀνίας.
Πιερίδες φεύγωμεν, ἐϋκτιμένην πόλιν ἄλλην
Πατρίδα μαστεύσωμεν. ἀπαγγελέω δ' ἄρα πᾶσιν
Ως ὀλοοὶ κυφῆνος ἐδηλήσαντο μελίσσας.

ΠΑΛΛΑΔΑ.

Τύχη καπηλεύουσα πάντα τὸν βίον,
Ασυγκέραστον τὴν φύσιν κεκτημένη,
Καὶ ζυγκυκῶσα καὶ μεταντλοῦσα πάλιν,
Αὐτὴ κάπηλός ἐστι νῦν τις οὐ θεὰ,

Τέχνην

Ejusdem.

Sæpe demiratus sum tuum amorem & contumeliam,
Et longè leviorem tuum amorem deprehendens,
Contumeliã verò serpentẽ, disjunctus sum ab amicitiâ
Non ulterius toleraus contumeliã ignominiosissimã.

IN FORTVNAM, Cap. LXXX.

Incerti.

Spes & tu fortuna longum valete. Portum inveni
Nihil mihi vobiscum, ludite illos qui postẽ me.

LVCIANI.

Ager Achæmenidæ fui olim. Nunc verò Menippi,
Et rursus ab alio transibo ad alium.
Etenim & ille me quondã habere consebat, & rursus hic
Putat. Sum vero planè nullius, sed fortunæ.

Incerti.

Vtinam pater me docuisses villosas oves custodire
Vt sub ulmis sedens & sub petris
Canens calamis meas solarer calamitates.
Pierides fugimus benè habitatam urbem, aliam
Patriam quæramus. Annunciabo verò sanè omnibus,
Quod pernicioſi fuci læserunt ipsas apes.

PALLADÆ.

Fortuna fraudulenter regens vitam,
Intemperatam naturam possidens
Et permiscens & exhauriens rursus
Ipsa cauponaria est nunc quædam, non Dea,

Τέχνην λαχοῦσα τῶν τρόπων ἐπαξίαν.

Τοῦ αὐτοῦ.

Ανεστράφησαν (ὡς ὁρῶ) τὰ πράγματα,
Καὶ τὴν τύχην νῦν δυστυχοῦσαν εἴδομεν.

Τοῦ αὐτοῦ.

Καὶ σὺ τύχη δεσποινα τύχην ἀτυχῆ πόθεν ἔσχες;
Η παρέχουσα τύχας, πῶς ἀτυχὴς γέγονας;
Μάνθανε δὲ σὺ φέρειν τὰ σὰ ῥεύματα· καὶ σύ διδάσκου
Τὰς ἀτυχεῖς πτώσεις, ἃς παρέχεις ἑτέροις.

Τοῦ αὐτοῦ.

Καὶ σὺ τύχη λοιπὸν μεταβαλλομένη, καταπαίζου,
Μηδὲ τύχης τῆς σῆς ὕστατα φεισαμένη.
Η πρὶν νηὸν ἔχουσα, καπηλεύεις μετὰ γῆρας,
Θερμοδότις μετρόπων νῦν ἀναφαινομένη,
Νῦν ὁσίως στένε καὶ σὺ τεὸν πάθος ἄστατε δαῖμον,
Τὴν σὴν ὡς μετρόπων νῦν μετάγουσα τύχην.

ΑΠΟΛΛΟΝΙΔΟΥ.

Αγγελίης ἤκουσεν ἀνωΐστου μελίτινα,
Υιέα σὺν φόρτῳ κύματι κρυπτόμενον·
Ηϊόσιν δ' ἐπικέλσαν ἁλίκλυστον δέμας ἄλλου
Δύσμορος οἰκείης σύμβολον εἶδε τύχης·
Υιέα δ' ὣς ἔστειλε, δίων δ' ἐπὶ νηὸς ἀθραύστου
Ηλυθεν ἐς γαίην σῶος ἀπ' ἐμπορίης·
Μητέρεσ ὡς ἀνίσου μοίρης λάχον· ἡ μὲν ἄελπτον
Ζωὸν ἔχει, κείνη δ' ὄψεται οὐδὲ νέκυν.

ΑΓΛ.

Artem consecuta suis moribus condignam.

Ejusdem.

Nutatæ sunt (vt video) res,
Et fortunam nunc infelicem vidimus.

Ejusdem.

Et tu fortuna regina fortunã infaustam vnde habuisti?
Quæ præbes felicitatem, quomodo infelix facta es?
Disce & tu ferre tuos fluctus, & tu docêre alijs.
Infelices casus, quos præbes alijs.

Ejusdem.

Et tu fortuna deinceps transmutata illudaris,
Quæ ne tuæ quidem fortunæ deniq; parcis. (nectute
Quæ prius templum habebas cauponariam exerces in se-
Calida vendens hominibus iam apparens, (Deus
Nunc sanctè ingemisce & tu tuũ infortunium instabilis,
Tuam vt hominum nunc reportans fortunam.

APOLLONIDÆ.

Nuncium audivit insperatum Mitilena
Filium cum mercibus fluctibus obrutum. (aliud
Ad litora v. appulsum marinis fluctibus aspersũ corpus
Infelix propriæ exemplum vidit fortunæ:
Et vt filium sepelijt. Dion verò in navi infractâ
Venit in terram salvus à peregrinatione.
Matres quàm imparem fortunam consecutæ sunt! Hæc
enim quem non sperarat
Viventem habet, illa verò videbit neq; mortuum.

ΑΓΑΘΙΟΥ.

Γριπεύς τις μογέεσκεν ἐπ' ἰχθύσι, τὸν δ' ἐσιδοῦσα
Εὐκτέανος κούρη θυμὸν ἔκαμνε πόθῳ,
Καί μιν θῆκε σύνευνον. ὁ δ' ἐκ βιότοιο πενιχροῦ
Δέξατο παντοίης ὄγκον ἀγηνορίης.
Ἠδὲ τύχη γαλόωσα παρίστατο, καὶ ποτὶ κύπριν,
Οὐ τεὸς οὗτος ἀγὼν, ἀλλ' ἐμός ἐστιν, ἔφη.

Εἰς ἄρχοντα ἀνάξιον τῆς τοιαύτης
προαγωγῆς.

Οὐκ ἐθήλουσα τύχη σε προήγαγεν, ἀλλ' ἵνα δείξῃ
Ὡς ὅτι καὶ μέχρι σοῦ πάντα ποιεῖν δύναται.

ΛΟΥΚΙΑΝΟΥ.

Μὴ πταίων, φίλος εἶ θνητοῖς, φίλος εἶ μακάρεσσι,
Καί σευ ῥηϊδίως ἔκλυον εὐξαμένου·
Αν πταίσῃς, οὐδεὶς ἔτι σοι φίλος, ἀλλ' ἅμα πάντα
Εχθρὰ, τύχης τε ῥοπαῖς συμμεταβαλλόμενα.

ΠΑΛΛΑΔΑ.

Εὖγε λέγων, τὸν καιρὸν ἔφης θεὸν, εὖγε μένανδρε,
Ὡς ἀνὴρ μουσῶν καὶ χαρίτων τρόφιμος.
Πολλάκι γὰρ τοῦ σφόδρα μεριμνηθέντος ἄμεινον,
Προσπεσὸν εὐκαίρως, εὗρέ τι ταυτόματον.

Τοῦ αὐτοῦ.

Οὐ λόγον, οὐ νόμον οἶδε τύχη, μερόπων δὲ τυραννεῖ,
Τοῖς ἰδίοις ἀλόγως ῥεύμασι συρομένη.
Μᾶλλον τοῖς ἀδίκοισι ῥέπει, μισεῖ δὲ δικαίους,
Ὡς ἐπιδεικνυμένη τὴν ἄλογον δύναμιν.

ΑΓΑ-

AGATHIAE.

Piscator quis laboriosã agebat vitã ex piscibus. Hunc
Dives puella animo laborabit amore, (intuens
Et illum fecit coniugem. Hic verò ex vitâ pauperculâ
Accepit variæ cumulum superbiæ.
Fortuna verò ridens astabat, & ad Venerem:
Non tuum hoc certamen, sed meum est, inquit.

In principium indignum tali dignitatis gradu.

Non volens fortuna te extulit, sed vt ostenderet
Quod etiam usq; ad te omnia facere possit.

LVCIANI.

Felix existens amicus es hominibus, amicus es Dijs,
Et te facile audient precantem.
Sin infelix, hic nullus amplius tibi amicus, sed simul o-
Hostilia, & fortunæ momentis permutata. (mnia

PALLADÆ.

Euge, dicens occasionem dicis Deam. Euge Menander,
Vt vir Musarum & Charitum alumnus.
Sæpe enim quam valde deliberata melius
Incident oportunè invenit quoddam spontaneũ

Ejusdem.

Nõ rationẽ, non leges novit fortuna. hominibus v. im-
Proprijs absq; ratione fluctibus incitata, (perat,
Magis ad improbos inclinat, odit verò iustos,
Tanquam ostendens irrationalem potentiam.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς ἄρχοντα ἀποπεσόντα.

Ἠ ῥά γε ποῦ τὸ φρύαγμα τὸ πηλίκον; οἱ δὲ περισσοὶ
Πῆ ἔβαν ἐξαίφνης ἀγχίποροι κόλακες;
Νῦν γὰρ ἑκὰς πόλιος φυγὰς ὤχεο· τοῖς πρότερον δέ
Οἰκτροῖς τὴν κατὰ σοῦ ψῆφον ἔδωκε τύχη.
Πολλή σοι, κλυτοεργὲ τύχη, χάρις, οὕνεχ' ὁμοίως
Πάντας ἀεὶ παίζεις, κεἰς σέ τι τερπόμεθα.

Τοῦ αὐτοῦ.

Εὖ τέ τις ἐκ πενίης πλούτου τύχοι, ἠδὲ καὶ ἀρχῆς,
Οὐκ ἔτι γιγνώσκει τίς πέλετο πρότερον.
Τὴν ποτὲ γὰρ φιλίην ἀπαναίνεται· ἀφρονέων δὲ,
Τέρψιν ὀλισθηρῆς οὐ δεδάηκε τύχης.
Ἧς ποτὲ γὰρ πτωχὸς ταλαπείριος· οὐκ ἐθέλεις δὲ,
Αἰτίζων ἀκόλους, νῦν ἑτέροις παρέχειν.
Πάντα (φίλος) μερόπεσσι παρέρχεται, εἰ δ' ἀπιθήσεις,
Εμπαλιν αἰτίζων, μάρτυρα σαυτὸν ἔχοις.

ΠΑΛΛΑΔΑ.

Παίγνιόν ἐστι τύχης μερόπων βίος, οἰκτρὸς ἀλήτης,
Πλούτου καὶ πενίης μεσσόθι ῥεμβόμενος.
Καὶ σοῦ μὲν κατάγουσα, πάλιν σφαιρηδὸν ἀείρει,
Τοὺς ἀπὸ τῶν νεφελῶν εἰς ἀΐδην κατάγει.

Τοῦ αὐτοῦ.

Αν μὴ γελῶμεν τὸν βίον τὸν δραπέτην,
Τύχην τε πόρνης ῥεύμασιν κινουμένην,
Οδύνην ἑαυτοῖς προξενοῦμεν πάντοτε,

Αναξίους

AGATHIÆ Scholastici in Principem delectum.

Vbi nunc est superbia illa tanta? & arrogantes
Quo abierunt subito prope te incedentes adulatores?
Nunc enim procul à civitate exulas. Prius verò
Miseris illum tuum calculum dedit fortuna.
Magna tibi, ô inclyta opib. fortuna, gratia, & similiter
Omnes semper illudis, & ob te aliquid delectamur.

Ejusdem.

Vbi quis ex paupertate divitias cõsecutus est, & princi-
Non amplius cognoscit, quis fuerit prius. (patum
Nam veterem amicitiam recusat. Stultus verò
Delectationem lubricæ non didicit fortunæ.
Eras quondam enim mendicus miser, non vis autem
Cum rogaris frusta panis nunc alijs dare.
Omnia, ô amice, hominibus transeunt. Si verò nõ credis
Rursus mendicans, testem te ipsum habere poteris.

PALLADAE.

Lusus fortuna est vita hominum, miserabilis, erroneus
Inter divitias & paupertatem medio loco errans.
Et hos quidem inferens rursus in gyrum attollit,
Hos verò è nubibus ad inferos deducit.

Ejusdem.

Nisi rideamus vitam fugacem,
Et fortunam meretricis fluctibus motam
Dolorem nobis ipsis conciliamus vndique,

Αναξίους ὁρῶντες εὐτυχεστέρους.

Αδηλον.

Ολβιον ἀνθρώποισιν ἔχει φάος ἄμβροτος αἰὼν
Σῆσιν ὑπ' ἐννεσίαις, εὐγλωττέρα τύχη.
Νεύμασι γὰρ σῷ πάντα φέρει κλέος, ὁππότε χειρὶ
Δεξιτερῇ παρέχεις αὐχένα θαπέσιον.
Τούτῳ καὶ βασιλῆες ἀμύμονες ἁρμόζονται,
Καὶ λογίων ἀγέλης ἄμβροτοι ἡγεμόνες.

Αδηλον.

Οἷον λογισμοῖς καταμάθω τὰ πράγματα,
Καὶ τὰς ἀκαίρους τοῦ βίου μεταστροφάς,
Καὶ ῥεῦμ' ὄπισθεν τῆς ἀνωμάλου τύχης,
Πῶς οὗτοι πένητας πλουσίους ἐργάζεται,
Καὶ οὗτοι ἔχοντας χρημάτων ἀποστερεῖ·
Τότε κατ' ἐμαυτὸν τῇ πλάνῃ σκοτούμενος,
Μισῶ τὰ πάντα, τῆς ἀδηλίας χάριν.
Οἵῳ τρόπῳ δὲ πειθήνιον τῆς τύχης,
Τῆς ἐξ ἀδήλου τοῦ βίου φανερουμένης,
Πόρνης γυναικὸς οὗτοι τρόπους κεκτημένης;

ΛΟΥΚΙΑΝΟΥ.

Θεοὶ μὲν ὑμῖν οἵδε εὐτυχεῖ βροτοί.

Αδηλον.

Φεῦ, τῶν βροτείων ὡς ἀνώμαλοι τύχαι.
Οἱ μὲν γὰρ, εὖ πράττουσι· τοῖς δ' ξυμφοραὶ
Σκληραὶ πάρεισιν, εὐσεβοῦσι περὶ θεούς.

ΛΟΥ-

Indignos videntes feliciores.

Incerti.

Felicem hominibus habet lucem immortale ævum
Tuis consilijs, generosa fortuna,
Nutu enim tuo omnia ferunt gloriam, cum manui
Dexteræ indulges collum tuum sanctum.
Huc etiam inculpati reges compinguntur,
Et rationalium gregis sancti duces.

Incerti.

Cum ratione perpendo res,
Et intempestivas vitæ conversiones.
Et fluctum incertum inæqualis fortunæ;
Quomodo pauperes divites faciat,
Et habentes opibus privat:
Tunc contra meipsum errore obtenebratus
Odi omnia propter incertitudinem.
Quâ enim ratione superabo fortunam,
Cum ex incerto vitæ apparet,
Meretricis mulieris mores possidentem?

LVCIANI.

Extra Deum nullus beatus est homo.

Incerti.

Heu, mortalium quàm incertæ fortunæ!
Hi enim felices sunt. Quibus verò calamitates
Graves adsunt, pij sunt erga Deos.

LVCI-

ΛΟΥΚΙΑΝΟΥ.

Πολλὰ τὸ δαιμόνιον δύναται, κἂν ᾖ παράδοξα·
Τοὺς μικροὺς ἀνάγει, οὗτος μεγάλους κατάγει.
Καὶ σοῦ τὴν ὀφρὺν καὶ τὸν τῦφον καταπαύσει,
Κἂν ποταμὸς χρυσοῦ νάματά σοι παρέχῃ.
Οὐ θρύον, οὐ μαλάχην ἄνεμος ποτὲ, τὰς δὲ μεγίστας
Ἡ δρύας ἢ πλατάνους οἶδε χαμαὶ κατάγειν.

ΕΙΣ ΥΠΕΡΟΨΙΑΝ, κεφ. πα.

Αδηλον.

Ἠλλακτ' ἐξαπίνης κορνήλιος, οὐδ' ἔτι λιτῷ
Τέρπεται ἡμετέρῳ μουσοχαρεῖ βιότῳ,
Κούφης δ' αἰωρεῖται ἀπ' ἐλπίδος· οὐκ ἔτι δ' ἡμεῖς
Οἱ πάρος, ἀλλ' ἑτέρης ἐλπίδος ἐκκρέμαται.
Εἴκωμεν ψυχὴ, πεπαλαίσμεθα· μηδὲ βιάζου.
Εἰς ἔδαφος τέχνης κείμεθ' ὑπ' ἀργυρέης.

ΠΑΛΛΑΔΑ.

Αν μνήμην ἄνθρωπε λάβῃς, ὁ πατήρ σε τί ποιῶν
Εσπειρεν, παύσῃ τῆς μεγαλοφροσύνης·
Αλλ' ὁ πλάτων σοὶ τῦφον ὀνειρώσσων ἐνέφυσεν,
Αθάνατόν σε λέγων, καὶ φυτὸν οὐράνιον.
Εκ πηλοῦ γέγονας· τί φρονεῖς μέγα; τοῦτο μὲν οὕτως
Εἶπ' ἄν τις κοσμῶν πλάσματι σεμνοτέρῳ.
Εἰ δὲ λόγον ζητεῖς τὸν ἀληθινὸν, ἐξ ἀκολάστου
Λαγνείας γέγονας, καὶ μιαρᾶς ῥανίδος.

Τοῦ

LVCIANI.

Multa fortuna potest, licet sint absurda
Parvos attollit, magnos deijcit.
Et tuum supercilium & fastum compescet,
Licet fluvius auri rivos tibi præbeat.
Nõ iuncum aut maluã ventus vnquam, sed maximas
Aut quercus aut platanũ novit in terram deijcere.

IN SVPERBIAM, Cap. LXXXI.

Incerti.

Mutatus est statim Cornelius, neq; amplius simplicè
Gaudet nostrâ Musis gaudente vitâ.
Vana autem attollitur à spe. Non verò amplius nos
Qui prius sed aliâ à spe dependet.
Cedamus anima, deuicti sumus. Neq; affligere,
Humi propter artem jacemus argenteam.

PALLADAE,

Si recordationem, ô homo suscipias pater te quid faciens
Seminârit, cessabis à superbiâ.
Sed Plato tibi superbiam somnians inspiravit
Immortalem te dicens, & plantam cælestem,
Ex argillâ natus es quid superbis? Hoc quidem sic
Dicat quis ornans simulacro splendidiore.
Si verò rationem requiris veram, ex itemperantì
Libidine natus es, & sordidâ guttulâ.

Ejusdem,

Τοῦ αὐτοῦ.

Ἠέρα λεπταλέον μυκτηρόθεν ἀμπνείοντες,
Ζώομεν, ἠελίου λαμπάδα δερκόμενοι,
Πάντες ὅσοι ζῶμεν κατὰ τὸν βίον· ὄργανα δ' ἐσμὲν,
Αὐραις ζωογόνοις πνεύματα δεχνύμενοι.
Εἰ δέ τις οὖν ὀλίγην παλάμῃ σφίγξειεν αὐτμὴν,
Ψυχὴν συλήσας, εἰς ἀΐδην κατάγει.
Οὕτως οὐδὲν ἐόντες ἀγηνορίῃ τρεφόμεσθα,
Πνοιῆς ἐξ ὀλίγης ἠέρα βοσκόμενοι.

ΕΙΣ ΦΗΜΗΝ, κεφ. ϖϐ.

ΠΑΛΛΑΔΑ.

Εἰ θεὸς ἡ φήμη, κεχολωμένη ἐστὶ καὶ αὐτὴ
Ελλησι, σφαλεροῖς ἐξαπατῶσα λόγοις.
Φήμη δ' ἀντιπαθὴς ἀναφαίνεται εὐθὺς ἀληθής.
Πολλάκι καὶ φήμην ἔφθασεν ἡ ταχύτης.

ΕΙΣ ΦΘΟΝΟΝ, κεφ. ϖγ.

ΠΑΛΛΑΔΑ.

Ο φθόνος οἰκτιρμοῦ, κατὰ πίνδαρον, ἐστὶν ἀμείνων.
Οἱ βασκαινόμενοι λαμπρὸν ἔχουσι βίον·
Τοὺς δὲ λίαν ἀτυχεῖς οἰκτείρομεν. ἀλλά τις εἴην
Μήτ' ἄγαν εὐδαίμων, μήτ' ἐλεεινὸς ἐγώ.
Η μεσότης γὰρ ἄριστον. ἐπεὶ τὰ μὲν ἄκρα πέφυκε
Κινδύνους ἐπάγειν, ἔσχατα δ' ὕβριν ἔχει.

Τοῦ αὐτοῦ.

Ω τῆς μεγίστης τοῦ φθόνου πονηρίας.

Τὸν

Ejusdem.

Aëra tenuem per nares respirantes
Vivimus, solis lampada intuentes. (verò sumus,
Omnes quotquot vivimus iuxta vitam. Instrumenta
Auris vitam gignentibus spiritum ducentes.
Si quis igitur parvum manu constringat spiritum
Animam deprædans ad inferos deducit:
Sic cum nihil simus superbiâ nutrimur
Spiritu ex parvo aërem depascentes.

IN FAMAM, Cap. LXXXII.

PALLADÆ.

Si Dea fama est, irata est & ipsa
Græcis, fallibilibus decepta sermonibus,
Fama verò cum re consentienes apparet statim vera,
Sæpius & famam antevertit celeritas.

IN INVIDIAM, Cap. LXXXIII.

PALLADÆ.

Invidia miseratione iuxta Pindarum est melior.
Invidiâ tacti splendidam habent vitam.
Nimium verò infelices miseramur. Sed aliquis sim
Neq; nimis felix, neq; miserabilis ego.
Mediocritas enim optima. Quoniam suprema solent
Pericula adducere. ima verò contumeliam habent.

Ejusdem.

O maximam invidiæ militiam!

V Feli-

Τὸν εὐτυχῆ μισεῖ τις ὃν θεὸς φιλεῖ.
Οὕτως ἀνόητοι τῷ φθόνῳ πλανώμεθα.
Οὕτως ἑτοίμως μωρίᾳ δουλεύομεν.
Ελληνές ἐσμεν ἄνδρες ἐσποδωμένοι,
Νεκρῶν ἔχοντες ἐλπίδας τεθαμμένας.
Ανεστράφη γὰρ πάντα νῦν τὰ πράγματα.

Τοῦ αὐτοῦ.

Οταν στυγῇ τις ἄνδρα τὸν θεὸς φιλεῖ,
Οὕτως μεγίστην μωρίαν κατεισάγει.
Φανερῶς γὰρ αὐτῷ τῷ θεῷ κορύσσεται,
Χόλον μέγιστον ἐκ φθόνου δεδεγμένος.
Δεῖ γὰρ φιλεῖν ἐκεῖνον ὃν θεὸς φιλεῖ.

ΑΡΙΣΤΩΝΟΣ, ἢ ΕΡΜΟΔΩΡΟΥ.

Πριομένα κάλλει γανυμήδεος εἶπέ ποθ' ἥρη,
Θυμοβόρου ζάλου κέντρον ἔχουσα νόῳ,
Αρσεν πῦρ ἔτεκε τροία διΐ, τοι γὰρ ἐγὼ πῦρ
Πέμψω ἐπὶ τροίαν πῆμα φέροντα πάριν.
Ηξει δ' ἰλιάδαις οὐκ αἰετὸς, ἀλλ' ἐπὶ θοίναις
Γῦπες, ὅταν δαναοὶ σκῦλα φέρωσι πόνων.

Αδηλον.

Ο φθόνος ἐστὶ κάκιστον, ἔχει δέ τι καλὸν ἐν αὐτῷ.
Τήκει γὰρ φθονερῶν ὄμματα καὶ κραδίην.

Αδηλον.

Ο φθόνος αὐτὸς ἑαυτὸν ἑοῖς βελέεσσι δαμάζει.

ΕΙΣ ΦΙΛΑΡΓΥΡΟΥΣ, κεφ. πδ.

ΠΛΑ-

Felicem quis odit quem Deus diligit.
Sic stolidi per invidiam erramus.
Sic sponte stultitiæ inservimus.
Græci sumus viri vani,
Mortuorum habentes spes sepultas.
Conversa enim sunt omnia nunc opera.

Ejusdem.

Cum odit virum quis hunc Deus quem diligit,
Hic maximam stultitiam introducit.
Manifestè enim contendit ille ipsi Deo,
Dum maximam iram ex livore concipit,
Nam equum est illum amare, quem Deus amat.

ARISTONIS vel HERMODORI.

Dolens ob pulcritudinem Ganymedis dixit quondã Iuno
Cordivori livoris aculeum habens in mente,
Virilem ignem peperit Troia novi. Cui ego ignem
Mittam in Troiam damna ferentem Parin.
Venit verò Iliadis non aquila, sed ob epulas
Vultures, vbi Danais spolia auferent laborum.

Incerti.

Grande malũ invidia est. Tamẽ hoc bonitatis in illa est
Cor etenim osorum devorat, atq; oculos.

Incerti.

Invidia atra suis telis domat ipsa seipsam.

ΠΛΑΤΩΝΟΣ, οἱ δὲ, ΑΝΤΙΠΑΤΡΟΥ.

Χρυσὸν ἀνὴρ, ὁ μὲν, εὗρεν, ὁ δ' ὤλεσεν· ὧν ὁ μὲν εὑρὼν
Ρίψεν, ὁ δ' οὐχ' εὑρὼν, λυγρὸν ἔδησε βρόχον.

ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

Χρυσὸν ἀνὴρ εὑρὼν, ἔλιπε βρόχον· αὐτὰρ ὃ χρυσὸν
Ον λίπεν οὐχ' εὑρὼν, ἧψεν ὃν εὗρε βρόχον.

Αδηλον.

Τέρπε δανειζόμενος τὴν σὴν φρένα. τοῖς δὲ δανεισταῖς
Κάλλιπε τὴν ψήφον δάκτυλι καμψοδυνῷ.

ΕΙΣ ΦΙΛΙΑΝ, κεφ. πε.

Αδηλον.

Κισσῶ μὲν διόνυσος ἀγάλλεται, αἰγίδι δὲ ζεύς·
Οἱ ναέται, ξείνοις, ἡ δὲ πόλις ναέταις.

Αδηλον.

Θησαυρὸς μέγας ἔστ' ἀγαθὸς φίλος, ἡλιόδωρε,
Τῷ καὶ τηρῆσαι τοῦτον ἐπισταμένῳ.

Αδηλον.

Μή ποτε τὸν παρεόντα παρεὶς φίλον, ἄλλον ἐρεύνα,
Δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.
Τίνας εἴποι λόγους φιλήμων δι' εὐριπίδην.
Εἰ ταῖς ἀληθείαισιν οἱ τεθνηκότες
Αἴσθησιν εἶχον ἄνδρες, ὥς φασιν τινὲς,
Απηγξάμην ἂν ὥς τ' ἰδεῖν εὐριπίδην.

Αδηλον.

Γνήσιός εἰμι φίλος, καὶ τὸν φίλον ὡς φίλον οἶδα·
Τοὺς δὲ κακοὺς διόλου πάντας ἀποστρέφομαι·

οὐδένα

PLATONIS, vt alij ANTIPATRI.

Hic vir repperit aurum, hic perdidit, quorũ qui inuenit
Abijcit, at qui non inuenit, crudelẽ aptauit laqueũ.

STATYLII FLACCI.

Vir auro inuento laqueum abijcit: Ille sed aurum
Quem reliquit ubi non inuenit, aptauit: quem inue-
Incerti. *(nit laqueum.*

Oblecta pecuniã mutuans tuũ animũ, fœneratoribus v.
Relinque calculum digitis cum dolore inflexis.

IN AMICITIAM, Cap LXXXV.

Incerti.

Hederâ quidem Bacchus, delectatur, capellâ v. Iupiter,
Incolæ hospitibus, hæc verò vrbs incolis.

Incerti.

Thesaurus magnus est bonus amicus, Heliodore,
Illi qui & retinêre hunc novit.

Incerti.

Nunquam præsentem relinquens amicum, alium quære
Malorum hominum sermonibus persuasus.

Quæ verba dixerit Philemon ob Euripidem.

Si revera qui mortui sunt
Sensum haberent viri, vt dicunt quidam,
Strangulari me paterer, vt viderem Euripidem.

Incerti.

Genuinus ego sum amicus, & amicum vt amicum noui
Et malos in vniversum omnes averſor,

Οὐδένα θωπεύω πρὸς ὑπόκρισιν· οὓς δ' ἄρα τιμῶ,
Τούτους ἐξ ἀρχῆς μέχρι τέλους ἀγαπῶ.

Αδηλον.

Πρᾶγμα μὲν ἐσθ' ὁ φίλος πάνυ δύσκολον· εἰσὶ δὲ
Καὶ σχεδὸν οἱ πάντες μέχρι προσηγορίας. (πολλοὶ,

ΕΙΣ ΦΙΛΟΣΟΦΟΥΣ, κεφ. πς.

ΕΜΠΕΔΟΚΛΕΟΥΣ περὶ ἑαυτοῦ,

Ηδη γάρ ποτ' ἐγὼ γενόμην κοῦρός τε κόρη τε,
Θάμνος τ', οἰωνός τε, καὶ ἐξ ἁλὸς ἔμπυρος ἰχθύς.

Τοῦ αὐτοῦ.

Ω φίλοι, οἳ μέγα ἄστυ κατὰ ξανθοῦ ἀκράγαντος
Ναίετ' ἀν' ἄκρα πόλεως, ἀγαθῶν μελεδήμονες ἔργων
Χαίρετ'· ἐγὼ δ' ὑμῖν θεὸς ἄμβροτος, οὐκ ἔτι θνητὸς,
Πωλεῦμαι μετὰ πᾶσι τετιμένος, ὥς περ ἔοικε,
Ταινίαις τε περίστεπτος, στέφεσίν τε θαλείοις.
Τοῖσιν ἅμ' εὖτ' ἂν ἵκωμαι ἐς ἄστεα τηλεθόωντα,
Ανδράσιν ἠδὲ γυναιξὶ σοβίζομαι. οἱ δ' ἅμ' ἕπονται
Μυρίοι, ἐξερέοντες ὅπη πρὸς κέρδος ἀταρπὸς,
Οἱ μὲν, μαντοσυνέων κεχρημένοι, οἱ δέ τι νούσων
Παντοίων ἐπύθοντο κλύειν εὐηκέα βάξιν.

Εἰς τὸ ἐγχειρίδιον ἐπικτήτου.

Μῆτιν ἐπικτήτοιο τεῷ ἐνὶ κάτθεο θυμῷ,
Οφρα κεν εἰσαφίκοιο καὶ οὐρανίους κενεῶνας,
Ψυχὴν ὑψικέλευθον ἐλαφρίζειν ἀπὸ γαίης.

Εἰς τὸ αὐτὸ.

Ος κεν ἐπικτήτοιο σοφὴν τελέσειε μενοινὴν,

Μειδιάει,

Nulli adulor per hypocrisin. Quos autem profecto amo,
Illos ab initio ad finem amo.

Incerti.

Res quidem est amicus valde difficilis. Sunt verò multi
Et prope omnes usq; ad linguam tantum.

IN PHILOSOPHOS, LXXXVI

EMPEDOCLIS de seipso.

Iam enim quondam ego factus sum puer & puella,
Frutex q̃, auisq̃, & ex mari assatus piscis.

Ejusdem.

O amici, qui magnam vrbem iuxta flavum Agrigẽtũ
Habitatis in summitate civitatis, bonorũ curiosi operũ
Salvete. Ego vobis Deus iumortalis, non ãplius mor-
Versor cum omnibus honoratus, vt convenit, (talis.
Et vittis coronatus, & sertis florentibus.
Quibus simul atq̃ venio in vrbem floridam
A viris & mulieribus color. Illi verò simul sequuntur
Innumeri, interrogantes quorsum sit ad lucrum via,
Hi quidem vaticinio indigentes, Illi verò morborum
Variorum quærunt audire valde acutum sermonem.

In Enchiridion Epicteti.

Sermonem Epicteti tuo impone animo,
Vt vbi perveneris etiam ad cœlestia receptacula
Animum altigradum eleves à terrâ.

In idem.

Quisquis Epicteti sapientem perfecerit sententiam,

Μειδιάᾳ, βιότοιο μαλλιοέων ἐπὶ πάντῳ,
Καὶ μὴ ναυλιλίῃ βιοτήσιον, ἐσπορήνῃ
Οὐρανίῃ ἀψῖδα, καὶ ἀστερίῃ πειρωπήν.

Εἰς μαθητήν.

Καὶ τόδε σῆς ζαθέης κεφαλῆς πειρώσιον ἔργον
Πρόκλε μάκαρ, πάντων βρέτας ἔμπνοον ὅπλοι μαθη-
Ἀθανάτων, μεσόπαστι βοηθόον εὐσεβέεσσιν, (τῶν
Αντὶ τῆς ἱερῆς κεφαλῆς ψυχοστόον ἄλκαρ
Κάλλιπες· ὃς βιοτὴν θεοτερπέα σεῖο λιγαίνων,
Γράψε πάσῃ ἐσομένοις μνημήϊα σῶν ἀρετάων.

Εἰς πλάτωνα, Ἀθήνῃσιν.

Ἀτθίδος εὐγλώσσοιο φέρβαθρον, τὸ σέο μεῖζον
Φθέγμα παναλλήων πᾶσι κέκλυθι πόλις.
Πρῶτος δ' εἰς τε θεὸν καὶ οὐρανὸν ὄμμα πετάσας
Θεῖε πλάτων, ἤθη καὶ βίον ἠγάσσω,
Σωκρατικῷ ζάμιον κεράσας κρητῆρι φρένημα.
Κάλλιστον σεμνῆς σῆμα διχοστασίης.

Ἀποφθέγματα τῶν ἑπτὰ σοφῶν.

Ἑπτὰ σοφῶν ἐρέω κατ' ἔπος πόλιν, οὔνομα, φωνήν.
Μέτρον μὲν κλεόβουλος ὁ λίνδιος εἶπεν ἄριστον.
Χίλων δ' ἐν σπάρτῃ λακεδαίμονι, γνῶθι σεαυτόν.
Ὃς δὲ πάρεμπλον ἔναιε, χόλου κρατέειν, περίανδρος.
Πιττακὸς, σὺν δὲ καὶ ἄλλον, ὃς ἔλιγε γλῶσσαν μιτυλήνης.
Τέρμα δ' ὁρᾶν βιότοιο, σόλων ἱεραῖς ἐν ἀθήναις.
Τοὺς πλέονας κακίους ἢ βίας ἀπέφηνε πιττακίδης.
Ἐγγύᾳ φθορὴν ἦ, θαλῆς ὁ μιλήσιος ἤνδα.

Ridet, vitæ securè degens in ponto,
Et post navigationem vitalem pervenit
At Cœlestem summitatem, & stellatam speculam.

In Marinum.

Et hoc sacri tui capitis sanctum opus
Procle beate, omnium simulacrum vivum quod Marinũ
Deorum, mortalibus auxiliarem pijs
Pro tuo sancto capite animos servans auxilium
Reliquisti, qui vitam Deo gratam tuam prædicans
Scripsit hæc futuris monumenta tuarum virtutum.

In Platonem, Incerti.

Atticæ facundæ os optimum, non te majus
Eloquiũ omnium Græcorum tota concluſit civitas.
Primus vero iná, Deum, & in cœlum oculos defigens
Divine Plato mores & vitam illustras.
Socratico Samium miscens cratere Sapientiam
Pulcherrimum sobriæ signum inquisitionis.

Apophthegmata septem sapientum.

Septẽ sapientũ dico ad verbũ civitatem, nomina, dictũ.
Modum quidem Cleobulus Lindius dixit optimum,
Chilon verò ex cavâ Lacedæmone Nosce teipsum,
Qui v. Corinthum habitabat, Iram moderari Periãder,
Pittacus, Nihil nimis, qui erat genere ex Mitilene,
Finem verò intueri vitæ Solon sanctis in Athenis,
Plures malos verò Bias dixit Prieneus,
Sponsionem fugere verò Thales Milesius dixit.

ΙΟΥΛΙΑΝΟΥ βασιλέως εἰς τὸ ὄργανον.

Ἀλλοίην ὁρόω δονάκων φύσιν· ἦπου ἀπ' ἄλλης
Χαλκείης τάχα μᾶλλον ἀνεβλάστησαν ἀρούρης,
Ἀγριοι, οὐδ' ἀνέμοισιν ὑφ' ἡμετέροις δονέονται,
Ἀλλ' ὑπὸ ταυρείης προθορὼν σπηλυγγος ἀήτης,
Νέρθεν ἐϋτρήτων καλάμων ὑπὸ ῥίζαν ὀδεύει.
Καίτις ἀνὴρ ἀγέρωχος ἔχων θοὰ δάκτυλα χειρὸς,
Ἱστᾶ ἀμφαφόων κανόνας συμφράδμονας αὐλῶν.
Οἱ δ', ἁπαλὸν σκιρτῶντες, ἀποθλίβουσιν ἀοιδήν.

Ἀδηλον.

Τῇ τῶν λόγων σου κογχύλῃ πορφύριε
Βάπτεις τὰ χείλη, ἐς στολίζεις τὰς φρένας.

Ἀδηλον.

Ἡ φύσις ἐξεῦρεν, φιλίης θεσμοὺς ἀγαπῶσα,
Τῶν ἀποδημούντων ὄργανα συντυχίης,
Τὸν κάλαμον, χάρτην, τὸ μέλαν, τὰ χαράγματα χει-
Σύμβολα τῆς ψυχῆς τηλόθεν ἀχνυμένης. (ρὸς,

Ἀδηλον, εἰς ἡράκλειτον.

Μὴ ταχὺς ἡρακλείτου ἐπ' ὀμφαλὸν εἴλιε βίβλον
Τοὐφεσίου· μάλα τοι δύσβατος ἀτραπιτός.
Ὀρφνη ἐς σκότος ἐστὶν ἀλάμπετον. ἢν δέ σε μύστης
Εἰσαγάγῃ, φανεροῦ λαμπρότερ' ἠελίου.

Ἀδηλον, εἰς πυθαγόραν.

Ἡνίκα πυθαγόρης τὸ περικλεὲς εὕρατο γράμμα
Κεῖν' ἐφ' ὅτῳ κλειτὴν ἤγαγε βουθυσίην,

Δὴ τότε

Ivliani regis in organum.

Variam arundinum video naturam. an in alio
Æreo forte magis germinarunt agro
Agreſtes, neq; ſpiritu noſtro incitantur.
Sed ex bubulo erumpens folle ventus,
Subter bene foratorum calamorum ſub radicem intrat,
Et aliquis vir egregius habens veloces digitos manus
Stat vndiq; tangens tabulas concordes tibiarum.
Hæ verò molliter ſaltantes exprimunt cantilenam.

Incerti.

Sermonum tuorum purpurâ Porphyriè
Fingis labra, & exornas mentes.

Incerti.

Natura invenit amicitiæ leges amans
Inter abſentes organa præſentiæ,
Calamum, chartam, atramentum, & characteres manus
Indicia animæ procul vexatæ.

Incerti in Heracletum.

Non cito Heracleti ſub vmbilicum claudo librum
Epheſij. Valde invia in eo via,
Caligo & tenebræ ſunt obſcuræ. Sin verò te doctor
Introduxerit, lucido ſunt ſplendidiora ſole.

Incerti in Pythagoram.

Cum Pythagoras inſignem invenit figuram
Illam ob quam inſigne fecit boum ſacrificium,

Tum

Δὴ τότε μιν ςυφελιζομένου σκύλακος παριόντα
φασὶν ἐποικτεῖραι, καὶ τόδε φάσθαι ἔπος,
Παῦσαι, μηδὲ ῥάπιζ', ἐπεὶ φίλου ἀνέρος ἐςὶ
Ψυχὴ, τὴν ἔγνων, φθεξαμένης ἀΐων.

ΕΙΣ ΦΙΛΟΣΤΟΡΓΙΑΝ, κεφ. πζ.

ΑΛΦΕΙΟΥ.

Χειμερίαις νιφάδεσσι παλυνομένα τιθὰς ὄρνις,
Τέκνοις εὐναίας ἀμφέχεε πτέρυγας,
Μέσφα μιν οὐράνιον κρύος ὤλεσεν· ἦ γὰρ ἔμεινεν
Αἰθέρος οὐρανίων ἀντίπαλος νεφέων.
Πρόκνη καὶ μήδεια κατ' ἀΐδος αἰδέσθητε
Μητέρες, ὀρνίθων ἔργα διδασκόμεναι.

Αδηλον.

Εκ πυρὸς ἰλιακοῦ, δοράτων μέσον ἥρπασεν ἥρως
Αἰνείας ὅσιον παιδὶ βάρος πατέρα.
Εκλάγε δ' ἀργείοις, μὴ ψαύετε· μικρὸν ἐς ἄρη
Κέρδος ὁ γηραλέος, τῷ δὲ φέροντι, μέγα.

ΑΡΧΙΟΥ.

Οὐ τόσον οὐδ' ἀθάμας ἐπεμήνατο παιδὶ λεάρχῳ,
Οσσον ὁ μηδείης θυμὸς ἐτεκνοφόνει·
Ζῆλος ἐπεὶ μανίης μεῖζον κακόν. εἰ δὲ φονεύοι
Μήτηρ, ἐν τίνι νῦν πίςις ἔτ' ἐςι τέκνων;

Τοῦ αὐτοῦ.

Αἶαν ὅλην νήσους τε διϊπταμένη σὺ χελιδὼν,
Μηδείης γραπτῇ πυκτίδι νοσοτροφεῖς.

Ελπη

Tunc sanè cum verbararetur canis, transeuntem
Dicunt ipsius canis misertum, & hoc dixisse verbũ:
Desine, nec verbera cum sit amici viri
Anima, quam cognovi vociferantem audiens.

IN PHILOSTORGIAM, Cap. LXXXVII.

ALPHAEI.

Hiemalibus nivibus humectata mansueta gallina
Pullis soporiferas circumfudit alas,
Donec illam cæleste frigus perdidit. Certè permansit
Ætheris cælestium oppugnatrix nivium.
Procne & Medea in inferno erubescite
Matres, avium opera discentes.

Incerti.

Ex igne Iliaco enses per medios rapuit heros
Æneas sanctum filio onus patrem.
Inclamavit verò Argivos: Ne ladite, vale ad Martẽ
Lucrum hic senex, at ferenti magnum.

ARCHI.

Non Athamas adeo iratus fuit filio Learcho,
Quantum Medeæ ira pueros trucidavit.
Zelotypia enim insaniâ magis malum. Si verò occidit
Mater, in quo nunc amplius est fides liberorum?

Ejusdem.

Terram totam insulasq́ dum pervolâsti hirundo
Medeæ sculptâ in statuâ pullos nutris.

Spe-

Ελπη δ' ὀρταλίχων πίστιν σέο τὴν δὲ φυλάξειν
Κολχίδα, μηδ' ἰδίων φαισαμένην τεκέων;

ΜΕΝΕΚΡΑΤΟΥΣ Σμυρναίου.

Παισὶν ἐπὶ προτέροις ἤδη τρίτον ἐν πυρὶ μήτηρ
Θεῖσα, καὶ ἀπλήστῳ δαίμονι μεμφομένη,
Τέτρατον ἄλγος ἔτικτε, καὶ οὐκ ἀνέμεινεν ἀδήλους
Ελπίδας, ἐν δὲ πυρὶ ζωὸν ἔθηκε βρέφος.
Οὐ θρέψω, λέξασα· τί γὰρ πλέον ἄϊδι μαστοὶ
Κάμνετε; κερδήσω πένθος ἀμοχθότερον.

ΑΝΤΙΠΑΤΡΟΥ Θεσσαλονικέως.

Παιδὸς ἀφ' ὑψηλῶν κεράμων ὑπὲρ ἄκρα μέτωπα
Κύπτοντος, (μοῖραν νηπιάχοις ἄφοβον)
Μήτηρ ἐξόπιθεν μαζῷ μετέτρεψε νόημα.
Δὶς δὲ τέκνῳ ζωὴν ἐγκεχάριστο γάλα.

ΕΙΣ ΦΡΟΝΗΣΙΝ, κεφ. πη.

ΛΟΥΚΙΑΝΟΥ.

Η βραδύπους βουλὴ, μέγ' ἀμείνων· ἡ δὲ ταχεῖα
Αἰὲν ἐφελκομένην τὴν μετάνοιαν ἔχει.

Αδηλον.

Εἰς σὲ καὶ ἀψευδὴς ἐψεύσατο βίβλος ὁμήρου,
Οπλοτέρων ἐνέπουσα μετήορα δήνεα φωτῶν.

ΕΙΣ ΦΡΟΝΤΙΔΑΣ, κεφ. πθ.

ΜΙΜΝΕΡΜΟΥ.

Τὴν ζαυτοῦ φρένα τέρπε· δυσηλεγέων δὲ πολιτῶν
Αλλός τις σὲ κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

ΠΑΛ.

Sperasne implumiũ pullorum tuorum fidẽ hãc seruaturã
Colchida, quæ proprijs non pepercit liberis.

MENECRATIS Smyrnæi.

Pueris è prioribus iam tertium in ignem mater
Ponens, & ab insatiabili morte adflicta,
Quartum dolorem peperit. & non exspectavit incertas
Spes; in ignem verò vivum posuit infantem.
Non nutriam dixit: Quid enim amplius vbera mortis
Laboratis? Lucrabor dolorem minus laboriosum.

ANTIPATRI Thessalonicensis.

Puero ex altis tegulis, super summum verticem
Deorsum pẽdenti (per casum pueris non formidatũ.)
Mater à tergo mammis revocavit voluntatem:
Bis verò puero vitam dedit lac.

IN PRVDENTIAM, XXCIIX.

LVCIANI.

Tardum consilium longè melius. Velocius verò
Semper secum tractam pœnitentiam habet.

Incerti.

In te etiam verax mentitus liber Homeri est,
Iuuenum dicens esse levia consilia virorum.

IN CVRAS, Cap. LXXXIX.

MIMNERMI.

Tuam ipsius mentem oblecta. Morosorum verò ciuium
Alius tibi malè, alius benè dices.

PAL-

ΠΑΛΛΑΔΑ.

Εἰ τὸ μέλειν δύναταί τι, μερίμνα, καὶ μελέτω σοί·
Εἰ δὲ μέλει περὶ σοῦ δαίμονι, σοὶ τί μέλει;
Οὔτε μεριμνήσεις δίχα δαίμονος, οὔτ' ἀμελήσεις·
Ἀλλ' ἵνα σοί τι μέλῃ, δαίμονι τοῦτο μέλει.

Τοῦ αὐτοῦ.

Τίπτε μάτην ἄνθρωπε πονεῖς, καὶ πάντα ταράσσεις,
Κλήρῳ δουλεύων τῷ κατὰ τὴν γένεσιν;
Τούτῳ σαυτὸν ἄφες. τῷ δαίμονι μὴ φιλονείκει.
Σὴν δὲ τύχην στέργων, ἡσυχίην ἀγάπα.
Μᾶλλον ἐπ' εὐφροσύνην δὲ βιάζεο καὶ παρὰ μοίρην,
Εἰ δυνατὸν ψυχὴν τερπομένην μετάγειν.

ΕΙΣ ΧΡΟΝΟΝ, κεφ. ϛ.

ΠΛΑΤΩΝΟΣ.

Αἰὼν πάντα φέρει· δολιχὸς χρόνος οἶδεν ἀμείβειν
Οὔνομα, καὶ μορφὴν, καὶ φύσιν, ἠδὲ τύχην.

Ἀδήλον.

Αργαλέων φέρεται πολιὸς χρόνος· ἀλλὰ παρέρπων,
Καὶ φωνὰς κλέπτει φθεγγομένων μερόπων.
Καὶ μὴ φαινόμενος, τοὺς φαινομένους ἀφανίζει.
Καὶ μὴ φαινομένους, εἰς φανερὸν προφέρει.
Ὦ ζωῆς ἀόριστος ἐν ἀνθρώποισι τελευτὴ,
Ἦμαρ ἐπ' ἦμαρ ἀεὶ πρὸς ζόφον ἐρχομένων.
Μηκέτι κληρονόμους ὀνομάζετε φέγγος ὁρῶντας,
Τοὺς δ' ἀποθνήσκοντας, κληρονόμους λέγετε.

Οἱ νῦν

Si curare aliquid valet cura, & curam gere
Si verò curæ est de te Deo, quid tu curas?
Neq; anxiè curabis sine Deo, neq; negliges
Sed vt tu aliquid cures Deo hoc curæ est.

Ejusdem.

Quare frustra homo laboras, & omnia perturbas
Sorti inserviens illi iuxta tuam generationem?
Huic te relinque, & noli Deo contendere.
Tuam verò animam amans traquillitatem dilige.
Magis verò ad lætitiam contende, & præter fatum
Si possibile est animam gaudentem traducere.

IN TEMPVS, Cap. XC.

PLATONIS.

Omnia fert ævum, longum tempus novit mutare
Nomen, & figuram, & naturam, & fortunam.

Incerti.

Graviter fertur canum tempus, sed transiens
Et voces delet loquentium hominum,
Et non apparens illos qui apparent non apparere facit
Et non apparentes in lucem profert.
O vitæ indefinitus in hominibus finis,
Die ad diem semper ad occasum transiens!
Neq; heredes appellates lucem intuentes,
Sed morientes heredes dicite.

Οἱ νῦν κληρονόμοι νέκυες μέγα κέρδος ἔχουσι,
Τὴν ἀναχώρησιν τοῦ μογεροῦ βιότου.
Τὴν πόλιν οἱ νέκυες πρότερον ζῶσαν κατέλειψαν.
Ἡμεῖς δὲ ζῶντες τὴν πόλιν ἐκ φέρομεν.

ΠΑΛΛΑΔΑ.

Νυκτὸς ἀπερχομένης γεννώμεθα, ἦ μαρ ἔπ' ἦ μαρ,
Τοῦ προτέρου βιότου μηδὲν ἔχοντες ἔτι.
Ἀλλοτριωθέντες τῆς ἐχθεσινῆς διαγωγῆς,
Τοῦ λοιποῦ δὲ βίου σήμερον ἀρχόμενοι.
Μὴ τοίνυν λέγε σαυτὸν ἐτῶν πρεσβῦτα πεισσῶν.
Τῶν γὰρ ἀπελθόντων σήμερον οὐ μετέχεις.

Τοῦ αὐτοῦ.

Ὦ τῆς βραχείας ἡδονῆς τῆς τοῦ βίου.
Τὴν ὀξύτητα τοῦ χρόνου πενθήσατε.
Ἡμεῖς καθεζόμεσθα καὶ κοιμώμεθα,
Μοχθοῦντες ἢ τρυφῶντες· ὁ δὲ χρόνος τρέχει,
Τρέχει καθ' ἡμῶν τῶν ταλαιπώρων βροτῶν
Φέρων ἑκάστου τῷ βίῳ καταστροφήν.

Αδηλον.

Τὴν πρότερον θυμέλην μήτ' ἔμβλεπε, μήτε παρέλθης.
Νῦν ἄπαγε δραχμῆς εἰς κολοκορδόκολα.
Καὶ σῦκον δραχμῆς ἐγγίγνεται· ἢν δ' ἀναμείνῃς,
Χίλια. Τοῖς πτωχοῖς ὁ χρόνος ἐστὶ θεός.

Αδηλον.

Τῆς ὥρας ἀπόλαυε. παρακμάζει ταχὺ πάντα.
Εν θέρος ἐξ ἐρίφου τρηχὴν ἔθηκε τράγον.

Αδηλον.

Qui nunc heredes mortui magnum lucrum habent.
Disiunctionem à laboriosâ vitâ.
Civitatem hanc mortui prius viventem reliquerunt.
Nos verò viventes civitatem efferimus.

PALLADÆ.

Nocte recedente nascimur quotidie,
Priores vitæ nihil habentes adhuc.
Spoliati hesternô vitæ statu
Et reliquum vitæ hodie incipientes.
Ne igitur dicas teipsum annorum senem multorum
Illorum enim quæ abierunt hodie non es particeps.

Ejusdem.

O brevem voluptatem vitæ.
Celeritatem temporis doletis.
Nos sedemus vel decumbimus,
Laborantes vel delitiantes. Tempus currit,
Currit contra nos miseros homines,
Ferens vniuscuiusq; vitæ mortem.

Incerti.

Priorem scenicum apparatum non intuere neq; præteri,
Nunc defer pecuniam in intestina emenda.
Etiam ficus drachmâ emitur. Sin verò exspectes
Mille. pauperibus Deus est tempus.

Incerti.

Tempore perfruere. Senescunt celeriter omnia
Vna æstas ex hædo hirsutum fecit hircum.

Αδηλον.

Τὸ ῥόδον ἀκμάζει βαιὸν χρόνον· ἢν δὲ παρέλθῃ,
Ζητῶν εὑρήσεις σὺ ῥόδον, ἀλλὰ βατον.

ΕΙΣ ΩΡΑΣ, ΚΑΙ ΜΗΝΑΣ, κεφ. στα.

Αδηλον.

Εξ ὧραι μόχθοις ἱκανώταται. αἱ δὲ μετ' αὐτὰς,
Γράμμασι δεικνύμεναι, ζῆθι λέγουσι βροτοῖς.

Μῆνες αἰγυπτίων, ὧν πρῶτος σεπτέμβριος.

Πρῶτος θὼθ ἐδάη δρεπάνην ἐπὶ βότρυν ἐγείρειν,
Ιχθυβόλοισι φαωθὶ φέρει πανδήμιον ἄγρην,
Πληϊάδων φαίνουσαν ἀθὺρ τεκμαίρεται ὥρην,
Χοιὰκ σπειρομένων σταχύων δείκνυσι γενέθλην,
Τυβὶ δὲ πορφύρεον βουληφόρον εἷμα τιταίνει,
Σημαίνει πλωτῆρσι μεχεὶρ πλόον ἀμφιπολεύειν.
Αρεος ὅπλα φέρειν φαμενὼθ δείκνυσι μαχηταῖς,
Εἰαρινῶν φαρμουθὶ ῥόδων πρωτάγγελός ἐστι,
Λήϊα δ' αὐανθέντα παχὼν δρεπάνοισι φυλάσσει,
Εὐκάρπου δὲ παϋνὶ προάγγελός ἐστιν ὀπώρης,
Καὶ σταφυλὴν κατέχων εὐάμπελόε ἐστιν ἐπηφί.
Καὶ μεσορὶ νείλοιο φέρει φυσίζοον ὕδωρ.

Μῆνες ῥωμαίων, ὧν ὁ πρῶτος Ιανουάριος.

Εξ ἐμέθεν, λυκάβαντος ὑπ' ἠελίοιο θύρετρα.
Αὐσονίοις ὕψος δέρκεται ἠέλιος.
Αὐτὰρ ἐγὼ θαμινῆς γαίην νιφάδεσσι διαίνω,
Τεύχων εἰαρινῆς ἔγκυον ἀγλαΐης.

Αρχετ'

Incerti.

Rosa senescit brevi tempore. Vbi verò transierit,
Inquirens invenies non rosam, sed rubum.

INHORAS ET MENses, Cap XCI.

Incerti.

Sex horæ laboribus convenientissimæ. Post illas verò
Literis demonstratæ vivè ducunt mortalibus.

Menses Ægiptiorũ quorũ primus Septẽber.

Primus Thoth novit falcem ad vuam erigere.
Piscatoribus Phaothi fert communem pisc ationem.
Pleiadum apparens Athyr indicat tempus.
Chæac seminat arum spicarum ostendit generationem.
Tybi verò purpureum consularem vestem demittit.
Indicat nautis Mechir navigationem instituere.
Martis arma ferre Phamenoth demonstrat pugnatorib.
Vernarum prænuncius est Pharmuthi rosarum.
Segetes florentes Pachon falce custodit.
Fœcundi verò Payni prænuncius est autumni.
Et vuam tenens pulcher vitibus est Epephi.
Et Mesori Nili fert naturam vivificantem aquam.

Menses Romanorum, primus Ianuarius.

Ex me anni à sole sunt vestibula.
Ausonijs fastigium cernitur sol.
Verum ego crebris terram nivibus irrigo
Faciens vernâ ipsam gravidam venustate.

Incipit

Ἀρχετ' ἄρης ἀπ' ἐμεῖο, Ϲ ἄνθεα, κ' γλάγ@ ἤδη.
Ἰση δ' ἐικοσῳ ἤματι νὺξ τελεθῃ.
Ἐν λωίοι τῆμ@ ἢ φυϐοσκάφ@ ἔρνεα πέμνων,
Ῥίζῃ ἀπ' ἀκροτάτῃ ἤμεσον ἀκρέμονα.
Οἵγε τῳ ἄρλι θάλασσα, ἐφοπλίζοιτε ἢ νῆας·
Ὧρον ἀκλύστων σκοτὸς ἄχθ' λιμένων.
Μεσάτι@ ῥόδου ἐιμὶ κ' ἀργυνῆϊο κέλνοιο,
Καὶ ξανθῆς κεράσου βέλτομαι ἀκρέμοσιν.
Καρκίνον ἠέλι@ μεταναίσατ@. ἀστέχυας ἢ
Καρφαλέως κείρῃ γειοπίν@ δρεπάνῃ.
Κείνω ἐγὼ πυῤῥὸν κ' ἀχυρμιάς· ἐν ἢ λέοντι,
Ἄρκεα τελέθῃ χθύμασι νηϊάδων.
Βέλθω ἐγὼ σαφυλῇ, βέλθω δ' ἀπὶ πάσῃ ὀπώρῃ·
Αὔθις δ' ἰσοπαλὴς γίγνετ@ ἤματι νὺξ.
Τίς δέ κ' ἐμεῖο πέλῃ γλυκερώτερ@, ἥς μέθυ λιῳῶ
Ἡδὺ ἀπικαπάγω, βάκχον ἀπ' οἰνοπέδου;
Εἴ τι ἀθλιωείης πέλῃ ἔρνεα, ὤρεον ἤδη
Καρπὸν ἀποθλίϐειν, μνῆσιν ἔχειν καμάτων.
Παύσασθ νειὸ κέλομαι. γλαγόωνι γὰ ἤδη
Σπέρμαθι ῥιγεδανὴ πηγυλὶς ἀνιάσῃ.

Εἰς ϖοῦ αὐτούς.

Μιὼ ἰκατάτων πεῶτες· ὁ ἢ δύτερος αὖλακα τέμνῃ·
Ὁ τρίτ@, αὐτονίων ῥιπὶ μῶλον ἐγείρῃ.
Τέτρατ@ ἀγγέλῃ ροδοδάκτυλον ἠῶ@ ὥρῃσι·
Εἰμὶ ῥόδον ῥητὴς, κ' ἐγὼ κείνα λάϐρα κομίζω.
Οὗτος ἀμφιλοδὴς· τὸ δ' ἐμὰ πέρας νεῖλον ἐγείρῃ.

Οὗτος

Incipit à me Mars & flores, & lac iam,
Æqualis verò vigesimo diei nox est.
Tunc v. inserat plantator scrobe facta surculos incidēs
Radice in summâ desiderabilem ramum.
Aperitur iam mare, exstruantur verò naves
Tempestivum à tutis extra ducere littoribus.
Medius inter rosas sum, & modo genita lilia
Et flavis cerasis scateo in ramis.
Canerum sol ingreditur, spicas verò
Aridas tondit laboriosus messor seculâ.
Divido ego flava grana, & paleas, in leone verò
Veri sunt fluctus imbrium.
Onustus ego sum uvis, & onustus sum omnis generis po-
Rursus verò æqualis fit diei nox. (mis
Quis me dulcior est, qui vinum torculari
Dulce deorsum defundo, Bacchum in vinifero solo.
Si quidem Minervæ sunt rami tempestivum iam
Fructum exprimere, & recordari laborum.
Cessare à novali iubeo. Lactescenti enim iam
Semini horrens frigus resistit.

In eosdem.

Mensis consulum primus; secundus sulcum secat,
Tertius Ausonium genus ad pugnam excitat,
Quartus annunciat roseam veris horam,
Sum rosarum genitor, & ego lilia candida porto.
Hic ligat manipulos. Et meæ alæ Nilum excitant.

Hic

Οὗτος ἀρισταφύλῳ πεφιλημένον ἔπλεγ βάκχῳ.
Τεύχω δ' οἶνον ἐγὼ μελιηδέα, χάρμα βροτοῖσι.
Δαῖτα φέρω χαρίεσσαν ἐς οὔνομα φωτὸς ἑκάστου.
Φορμίζειν δεδάηκα, καὶ ὑπνώοντας ἐγείρειν.
Hic generoso amicus est Baccho.
Paro vinum ego dulce gaudium hominibus
Convivium fero gratiosum ad nomen hominis cujusq́.
Citharâ cantare novit, & dormientes excitare.

ΘΕΩΝΟΣ μονόστιχον εἰς τὴν ἑβδόμαδα.

Ζεὺς, ἄρης, παφίη, μήνη, κρόνος, ἥλιος, ἑρμῆς.
THEONIS Monostichon in septimanam.
Iupiter, Mars, Venus, Luna, Saturnus, Sol, Mercurius

Τέλος τὸ πρώτου τμήματος τῆς ἀνθολογίας
διαφόρων ἐπιγραμμάτων.

Finis primæ sectionis Anthologiæ
Variorum Epigrammatum




Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn174672496X/phys_0352


Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn174672496X/phys_0353

Epigrammata graeca
cum versione
Eilhar di Lu=
bini.

Nr. 820

Cr.
1274.1.2



Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn174672496X/phys_0354

Δὴ τ… λιζομένου σκύλακος παριόντα
…ραι, καὶ τόδε φάσθαι ἔπος,
Παῦ… ζ', ἐπεὴ φίλου ἀνέρος ἐστὶ
…ων, φθεξαμένης ἀΐων.

…ΣΤΟΡΓΙΑΝ, κεφ. πζ.

…ΑΛΦΕΙΟΥ.

Χειμ… …σσι παλυνομένα τιθὰς ὄρνις,
…ς ἀμφέχεε πτέρυγας,
Μέσ… …ον κρύος ὤλεσεν· ἦ γὰρ ἔμεινεν
…ίων ἀντίπαλος νεφέων.
Πρό… …κατ' ἀΐδος αἰδέσθητε
…ων ἔργα διδασκόμεναι.

Αδηλον.

Εκ π… …δοράτων μέσον ἥρπασεν ἥρως
…παιδὶ βάρος πατέρα.
Εκλ… …ις, μὴ ψαύετε· μικρὸν ἐς ἄρη
…κλέος, τῷ δὲ φέροντι, μέγα.

ΑΡΧΙΟΥ.

Οὐ τ… …κας ἐπεμήνατο παιδὶ λεάρχῳ,
…ς θυμὸς ἐτεκνοφόνει·
Ζῆλ… …ς μεῖζον κακόν. εἰ δὲ φονεύοι
…νῦν πίστις ἔτ' ἐστι τέκνων;

Τοῦ αὐτοῦ.

Αἶα… …τε διϊπταμένη σὺ χελιδὼν,
…ῇ πυκτίδι νοσοτροφεῖς.

Ελπη